καὶ ἄλλους αἰνίττεται· οὐ γὰρ
πορνεία μόνον ποιεῖ ζύμην
ἀλλὰ καὶ πᾶσα κακία· καὶ
οὐκ εἶπεν καθάρατε· ἀλλ' ἐκ-
καθάρατε· ὅ ἐστιν μετὰ
ἀκριβείας καθαρίσατε·
ὥστε μηδὲ λείψανον· μηδὲ
σκιὰν εἶναι τοιαύτην:
ριθ ΙΝΑ ΗΤΕ ΝΕΟΝ ΦΥΡΑΜΑ. ΚΑ-
ΘΩΣ ΕΣΤΕ ΑΖΥΜΟΙ·
δηλοῖ καὶ ἐμφαίνει οὐ σφόδρα
πολλῶν κρατοῦσαν τὴν
κακίαν· εἰ δὲ λέγει καθώς ἐστε
ἄζυμοι· οὐ τοῦτο λέγει ὅτι πάν-
τες ἦσαν καθαροί· ἀλλὰ κα-

μοις ἐστὶ πῶς φησὶν ὅτι ἐστὶν αἴτιον τοῦ
πεπορνευκότος· κοινὸν πάν-
των γέγονε τὸ ἔγκλημα·
κοινὸν δὲ οὐ κατὰ τὸ ἁμαρ-
τήματι λέγει· ἀλλὰ κατὰ τὴν δι-
δασκαλίαν τὴν παρ' ἑκάστου
ἐστὶ καὶ οὐχ οὕτως ἐστὶ ῥηθέν.
ἀλλ' ἀφῆκεν αὐτὸν ἕκαστος· ἵ-
να πλήξῃ μεγαζόμενος· ἐστὶ
δὲ τῶν διδασκάλων ὁ τὸν πορ-
ριβ νεύσαντα κρίνειν : καὶ οὐχὶ μᾶλ-
λον ἐπενθήσατε ἵνα ἐξαρ-
θῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔρ-
γον τοῦτο ποιήσας : ὅτι
ὥσπερ λοιμόν φησιν τῆς ἐκ-
κλησίας ἢ διαφθορὰν ἢ προσ-
χώρησιν· καὶ οὐκ ἔστι πενθοῦν-
τα μᾶλλον ἐξουθενεῖν· ἀλλ' ὡς
ἐπὶ λοιμοῦ τινος ἢ λοιμοῦ πέν-
θους χρείαν ποιήσασθαι :
ριγ ἐγὼ μὲν γὰρ ἀπὼν τῷ σώ-
ματι. παρὼν δὲ τῷ πνι·
οὐδὲ ἀναμένει αὐτοῦ τὴν
παρουσίαν φησίν· οὐδὲ
ἐκδέξασθαι αὐτὸν καὶ τό-
τε πρᾶξαι· ἀλλ' ὥσπερ τι-
να λοιμὸν ἀποκλείειν σπεύδων
πρὶν διαδοθῆναι εἰς τὸ
λοιπὸν σῶμα ἔσπευσε
κατασχεῖν· διὸ καὶ ἐπά-
γει λέγων· ἤδη κέκρικα
ὡς παρών· ταῦτα δὲ ἔ-
λεγεν· οἰόμενος κατεπείγων

αὐτοὺς ἐστὶν ἀπόφασιν· καὶ
οὐκ ἀφῆκεν ἀλλ' ὅτι μου λέγε-
σθαι. ἀλλὰ καὶ φοβῶν· ὡς
ἤδη καὶ τούτων γενησομέ-
ναι. καὶ κριθησόμενα·
τοῦτο γάρ ἐστι παρεῖναι τῷ
πνι· ὡς αὐτὸ προλέγοντος πα-
ρὼν τοῦ γενέσθαι· καὶ ἐλέγχον-
χὶ ἡ καρδία μου κατὰ σοῦ :
ριδ ἤδη κέκρικα ὡς παρὼν
τὸν οὕτως τοῦτο κατεργα-
σάμενον. ἐν τῷ ὀνόμα-
τι τοῦ κυ ἡμῶν ιυ χυ. πα-
ραδοῦναι τὸν τοιοῦτον
τῷ σατανᾷ : οὐκ ἀφῆ-
κεν αὐτοὺς διορίσαι μό-
νους· καὶ γὰρ ἐξενεγκεῖν
τὴν ἀπόφασιν· ὡς παρὼν
φησίν· ἵνα μὴ λέγωσιν ὅτι
πῶς ἐστιν ἢ αὐθεντία
ὁρᾶς πῶς κοινωνοὺς ἐστιν αὐ-
τοὺς ποιεῖ τοῦ κρίματος
ἐπειδὴ συναχθέντων ὑμῶν
τὸ δὲ ἐν τῷ ὀνόματι τοῦ κυ
ἡμῶν τοῦτό ἐστιν· τὸν θεὸν
τὸ ὄνομα τοῦ χυ ἐμυρίσαν-
ται· τὸ μέγα ἀπογενέσθαι πι-
στόν. καὶ ὅσων ἤδη ἐκστῆναι
τῆς προσηγορίας τοιαῦτα
τολμήσαντα. τοῦτον παρα-
δοῦναι τῷ σατανᾷ· εἶδες
τὸ παραδοῦναι τῷ σατανᾷ
ἀλλὰ μὴ ἐκδοῦναι, ὡς ἂν οἴγω
αὐτοῖς τῆς μετανοίας τὰς θύ-

τοῦ κόσμου κατακριθῶμεν:
ρκε ἐξάρειτε τὸν πονηρὸν ἐξ ὑ-
μῶν αὐτῶν: μαρτυρίαν
εἰσάγει καὶ τῆς παλαιᾶς τίθησι λέ-
ξιν. ὅτι οὐ καινοτομία τὸ
τοιοῦτο. ἀλλὰ καὶ ἄνωθεν
αὐτὸ ἔδοξε τῷ νομοθέτῃ:
ρκϛ τολμᾷ τις ὑμῶν πρᾶγμα
ἔχων. κρίνεσθαι ἐπὶ τῶν
ἀδίκων. καὶ οὐχὶ ἐπὶ τῶν ἁγί-
ων: περὶ πλεονεκτούντων
διαλεγόμενος ζητεῖ τὴν φρον-
τίδα τῆς διορθώσεως. τῶν
ἁμαρτανόντων, οὐκ ἀμε-
λεῖ διὰ τὴν κατὰ τάξιν
ἀλλὰ τὸ ἐκεῖνο ἀκολουθί-
ας ἀχθέντος λέγομεν ἁμαρ-
τήματα διορθοῦται πάλιν.
καὶ οὕτως ἐστὶ τὸ πρότερον
ἐπανάγει. ὅρα δὲ πῶς ἐκ
τῶν ὀνομάτων γυμνάζων
καὶ ἀποτρέπει καὶ ἐκκαλεῖ.
ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι
μάλιστα ἀμελοῦντες κρίνεσθαι
ἐπὶ τῶν ἀδίκων οὐδέ. πῶς
γὰρ οὐκ ἄτοπον. πρὸς τὸν
φίλον μικροψυχοῦντα.
τὸν ἐχθρὸν διαλλακτὴν
λαμβάνειν. ἢ πῶς οὐκ αἰ-
σχύνῃ καὶ ἐρυθριᾷς. ὅταν
Ἕλληνα τοῦ Χριστιανοῦ. κα-
θίζῃς τὸν δικάζοντα. εἰ δὲ
καὶ τὸ μὴ ἐπὶ τῶν ἁγίων

ἐστὶν. ἀλλ' ἐπὶ τῶν ἀδίκων.
ἐπειδὴ γὰρ περὶ δικαστικῶν
τῶν ὁ λόγος ἦν. οἱ δικαζό-
μενοι δέ. οὐδὲ μὲν οὕτως ἐπι-
ζητοῦσιν. ὡς τὸ πολλὴν εἶ-
ναι πρόνοιαν τοῦ δικαίου
παρ' αὐτοῖς ἀκούουσιν. ἐν-
τεῦθεν αὐτοὺς ἀποτρέπει
μονονουχὶ λέγων. ποῖ τρέ-
χεις. καὶ τί ποιεῖς ἄνθρωπε τοὐ-
ναντίον πάσχων, ὧν ἐπι-
θυμεῖς. ζητῶν τυχεῖν
τοῦ δικαίου. ἀδίκοις ἐπιτρέ-
πων ἑαυτόν: οὐκ οἴδα-
ρκζ τε ὅτι οἱ ἅγιοι τὸν κόσμον
κρινοῦσιν; ἐπειδὴ εἰκὸς
καταφρονητὸν ἔδοξε τὸ
παρ' αὐτοῖς ἐν μέσῳ δικάζε-
σθαι ἰδιώταις περὶ τῶν μεγάλων
ἀδροῖς πραγμάτων. ὅρα
πῶς καὶ τοῦτο μεθοδεύει. ὁμοί-
ων γὰρ ὄντων ἀλλήλοις. ἀνόμων
ἐκ τῶν ἔργων κρινομένων τότε, πῶς
ὑπὸ τῶν ἁγίων ἀλλὰ κρίνε-
σθαι μέν. κρινοῦσι δὲ τὸν
κόσμον οἱ ἅγιοι. οὐ καὶ αὐτοὶ
καθήμενοι καὶ λόγον ἀπαι-
τοῦντες. ἀλλὰ κατακρίνον-
τες. διὸ καὶ ἐπάγει. εἰ ἐν ὑμῖν
ὁ κόσμος κρίνεται. οὐκ ἐπὶ τῶν
ἰδίων ὑμῶν ἀλλ' ἐν ὑμῖν. ὡς τό
τὴν μαρτυρίαν καὶ τὸ τιμωρούμενον
ἀνακτήσεται καὶ κατακρινεῖ

θῶς ἐστε ἄζυμοι·
ρις καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑ-
πὲρ ἡμῶν ἐτύθη Χριστός· ὥστε
ἑορτάζωμεν· μὴ ἐν ζύμῃ
παλαιᾷ· μηδὲ ἐν ζύμῃ κα-
κίας καὶ πονηρίας, ἀλλ' ἐ-
ν ἀζύμοις εἰλικρινείας καὶ
ἀληθείας: Ἔγραψα ὑμῖν
ἐν τῇ ἐπιστολῇ· μὴ συνα-
ναμίγνυσθαι πόρνοις
καὶ οὐ πάντως τοῖς πόρ-
νοις τοῦ κόσμου τούτου
ἢ τοῖς πλεονέκταις ἢ
ἅρπαξιν· ἢ εἰδωλολά-
τραις: τοὺς μὲν ἐ{ρ}γα-
σίαν παραιτουμένους κα-
ταπαύει· ἑορτὴ γὰρ φη-
σὶν ὁ παρὼν καιρός· διὰ
τί δὲ πάντων τῶν διημαρτηκό-
των· ἢ διὰ τὸ τῶν ἐμῶν βί-
ρκα ων τοιοῦτον εἶναι: Ἐπεὶ
ὠφείλετε ἄρα ἐκ τοῦ κόσμου
ἐξελθεῖν. νῦν δὲ ἔγραψα
ὑμῖν μὴ συναναμίγνυ-
σθαι· ἐάν τις ἀδελφὸς
ὀνομαζόμενος ἢ πόρνος
ἢ πλεονέκτης:
ἵνα γὰρ μὴ νομίσωσιν ὅτι
πᾶσιν ἀδελφοῖς αὐτοῖς
τοῦτο οὖν ἀπαλλάξειν· ὡς
[illegible] αὐτοῖς παρα-
ξαι ἐπιχειρήσουσιν. διὰ
κρινόμενοι οὐδὲ λέγονται

τοῦτο γενέσθαι· οὐδὲ γὰρ σφό-
δρα ἀναγκαῖον τοῦτο· ἐπεὶ σφῆς
ἐστὶ ἀμοιβαίων μὲν ἐκείνων
ρκβ ζητῆσαι: Ἢ εἰδωλο-
λάτρης· ἢ λοίδορος· ἢ μέ-
θυσος· ἢ ἅρπαξ. τῷ τοιού-
τῳ μηδὲ συνεσθίειν:
δῆλον τούτοις παραινεῖ ἢ προ-
καταλαμβάνειν· τὸν παρὰ τῶν
[illegible] λόγον· ὁ μὲν
κρομιὰ ἐπομένη γράμμα-
ρκγ σιν: Τί γάρ μοι καὶ
τοὺς ἔξω κρίνειν· οὐχὶ
τοὺς ἔσω ὑμεῖς κρίνε-
τε: τοὺς ἔσω, τοὺς
ἔξω. τοὺς χριστιανοὺς
καὶ τοὺς ἐθνικούς:
ρκδ Τοὺς δὲ ἔξω ὁ θεὸς κρινεῖ:
ἐπειδὴ γὰρ εἶπεν τί μοι τοὺς
ἔξω κρίνειν· ἵνα μὴ νομισθῇ
μόνους ἀτιμωρήτους
τούτους εἶναι. ἑτέρῳ δι-
καστηρίῳ αὐτοὺς ἐφίστη-
σι φοβερωτέρῳ: τοῦτο
δὲ εἶπεν. ὁμοῦ μὲν ἐκεί-
νους φοβῶν. ὁμοῦ δὲ τού-
τους παραμυθούμενος
καὶ δεικνὺς ὅτι ἡ κόλασις
αὐτὴ ἡ πρόσκαιρος, τῆς
διηνεκοῦς ἐξαρπάζει·
ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλε-
γεν· νυνὶ δὲ κρινόμενοι
παιδευόμεθα. ἵνα μὴ σὺν

ἥττημα ὑμῖν ἐστιν. ὅτι
κρίματα ἔχετε μεθ' ἑαυ-
τῶν· διατί οὐχὶ μᾶλλον
ἀδικεῖσθε· διατί οὐχὶ
μᾶλλον ἀποστερεῖσθε.
ἀλλ' ὑμεῖς ἀδικεῖτε. καὶ
ἀποστερεῖτε· καὶ ταῦτα
ἀδελφούς· ἢ οὐκ οἴδατε
ὅτι ἄδικοι βασιλείαν θῦ
οὐ κληρονομήσουσιν:
δηλονότι τὸ ἥττημα ὅτι
κρίματα ἐστὶ ἀσεβείας:
ρλγ μὴ πλανᾶσθε· οὔτε πόρ-
νοι· οὔτε εἰδωλολάτραι·
οὔτε μοιχοί· οὔτε μαλα-
κοί· οὔτε ἀρσενοκοῖται
οὔτε πλεονέκται· οὔτε
κλέπται· ἐνταῦθα
αἰνίττεται τινὰς λέγοντας
ἀπατεῶσι καὶ μὴν λέγουσιν
οἱ πολλοί· ὅτι φιλάνθρωπος
ὢν ὁ θεὸς καὶ ἀγαθός. οὐκ ἐπε-
ξελεύσεται τοῖς πλημμε-
λήμασιν· διό φησιν μὴ
πλανᾶσθε· πλάνη γὰρ
ἐσχάτη καὶ ἀπάτη ἐν
τοῖς ἀγαθοῖς χρηστὰς τῶν
ρλδ ἁμαρτανόντων ἐλπίζειν: οὔτε
μέθυσοι· οὐ λοίδοροι· οὐχ
ἅρπαγες· βασιλείαν
θῦ οὐ κληρονομήσουσιν·
καὶ ταῦτά τινες ἦτε. ἀλ-
λὰ ἀπελούσασθε· ἀλλὰ ἡγι-

άσθητε· ἀλλ' ἐδικαιώθητε
ἐν τῷ ὀνόματι τοῦ κυ ιυ· καὶ
ἐν τῷ πνι τοῦ θυ ἡμῶν:
καὶ ταῦτα τῶν ἐσχάτων
ἁμαρτημάτων ἐστὶν τὸ τῆς
μέθης. καὶ τὸ τῆς λοιδο-
ρίας. καὶ γὰρ καὶ ὁ χς τὸν
καλέσαντα τὸν ἀδελφὸν
αὐτοῦ μωρόν. τῇ γεέννῃ ζήτει φ
παραδέδωκεν. καὶ τῶν
ἰουδαίων μᾶλλον μέθη ὁδὸς
πρὸς εἰδωλολατρείαν ἐγέν-
ρλε ετο: πάντα μοι ἔξεστιν
ἀλλ' οὐ πάντα συμφέρει
τοῖς γαστριμάργοις ἐνταῦθα
αἰνίττεται· ἐπεὶ δὴ γὰρ
μέλλει περὶ τὸν πεπορ-
νευκότα φέρεσθαι. ἰδὲ
πορνείας ἀποτρυφὴ ἐστὶ γα-
στριμαργίας, τούτου χάριν σωφρό-
νως κολάζει τὸ πάθος.
ὁμοίως δὲ ὡς ἂν λέγοι· ἔξεστι
φαγεῖν φησίν· ἀλλ' οὐ μετὰ ἀσω-
ρλς τίας: πάντα μοι ἔξεστιν.
ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι
ὑπό τινος: διὰ τοῦτο δὲ
κρείττων. ὅτι τὸ τὰ βρώματα ἐξου-
σιάζουσιν. οἱ μὲν ὁμοίως φέρε-
ται· ἀλλ' οὐδὲ ἐξουσία ἐστιν. ἀλ-
λ' ἐν δουλείᾳ· ὁ μὲν κύριος ἐσ-
τὶ τοῦ φαγεῖν. οὐκ οἶμαι ἐστὶν κύ-
ριος ὤν. καὶ σὺ ὁ ... μὴ ἐγώ

τὴν γενεὰν ταύτην. καὶ
ἄνδρες νινευῖται ἀναστή-
σονται καὶ κατακρινοῦσιν
τὴν γενεὰν ταύτην:
ρκη ΚΑΙ ΕΙ ΕΝ ΥΜΙΝ ΚΡΙΝΕΤΑΙ
Ο ΚΟΣΜΟΣ; ἐν ἀμείνω δόξῃ
περὶ ἀμφοῖν μενόντων. ὁ ρασσας
κοινὸν ποιεῖ τὸν λόγον:
ρκθ ΑΝΑΞΙΟΙ ΕΣΤΕ ΚΡΙΤΗΡΙΩΝ
ΕΛΑΧΙΣΤΩΝ: αἰσχύ-
νην ὑμῖν φέρει τὸ πρᾶγμα φη-
σίν. ὥσπερ γὰρ ἔνδοξος ἦν
αὐτοῖς ὑπὸ τῶν μέσων κρι-
νομένων αἰσχυνθῆναι
φησίν. ὥσπερ ἀντὶ ὁμοίας
ἡ αἰσχύνη ὅταν ὑπὸ τῶν
ἔξω κρίνησθε. εἰ καὶ μάλα
ἐλάχιστα τὰ κριτήρια
οὕτω πάντα:
ρλ ΟΥΚ ΟΙΔΑ
ΤΕ ΟΤΙ ΑΓΓΕΛΟΥΣ ΚΡΙΝΟΥ
ΜΕΝ. ΜΗΤΙΓΕ ΒΙΩΤΙΚΑ
περὶ δαιμόνων λέγει τῶν
ἀγγέλων. περὶ ὧν φησιν
ὁ Χριστός. πορεύεσθε εἰς τὸ πῦρ
τὸ ἡτοιμασμένον τῷ δι-
αβόλῳ καὶ τοῖς ἀγγέλοις
αὐτοῦ. καὶ αὐτὸς δέ φησιν
ὁ ἀπόστολος ὅτι οἱ ἄγγελοι
αὐτοῦ τοὺς παραδειγ-
ματίζοντας μετασχηματίζον-
ται, ὡς δὲ ἄλλοι διάκονοι
σῴζειν. πάρειμι δὲ ἐκ
τούτων. τὸ κρινοῦμεν.

ἀντὶ τοῦ κατακρινοῦμεν.
ὅταν γὰρ ἐν σώμασιν ἄσω-
ματοι δεινῶν ἀμείνους. ἐκεῖνον
ἡμεῖς ὄψεσθε σὺν ἔχουσαν τὴν
σάρκα περιβεβλημένοι.
χαλεπώτερα δὲ τῶν εἰρημένων:
ρλα ΒΙΩΤΙΚΑ ΜΕΝ ΟΥΝ ΚΡΙΤΗΡΙΑ
ΕΑΝ ΕΧΗΤΕ ΤΟΥΣ ΕΞΟΥΘΕΝΟΥ
ΜΕΝΟΥΣ ΕΝ ΤΗ ΕΚΚΛΗΣΙΑ ΤΟΥ
ΤΟΥΣ ΚΑΘΙΖΕΤΕ. ΠΡΟΣ ΕΝΤΡΟ
ΠΗΝ ΥΜΙΝ ΛΕΓΩ: μᾶλλον
περὶ ὧν ἐποίησε διδάξαι βουληθεὶς
ὅτι ἰουδαίων ὄντων ἦν, τοῖς ἔξω
θέμενοι τὴν δίκην ἐπιτρέπειν
χρή. ἀναιρεῖ δὲ τὴν δό-
κησιν ἀντιθεὶς μόνον
χλευασμόν. τί λέγει; ὅτι
οὐδεὶς ὑμῶν σοφός οὐ-
δεὶς ἱκανὸς διακρῖναι. εἰ
τοῦτο. κἂν γὰρ μηδεὶς ᾖ
σοφὸς τοῖς ἐλαχίστοις ἐπι-
τρέπειν. τὸ δὲ πρὸς ἐν-
τροπὴν ὑμῖν λέγω. ἐλέγ-
χοντος ἐστὶ τὴν τούτων
ἀντίθεσιν. ὡς ἐν δικαζού-
σαις καὶ ἀπορίαις.
ρλβ ΟΥΤΩΣ ΟΥΚ ΕΝΙ ΕΝ ΥΜΙΝ ΣΟ
ΦΟΣ ΟΥΔΕ ΕΙΣ, ΟΣ ΔΥΝΗΣΕΤΑΙ
ΔΙΑΚΡΙΝΑΙ ΑΝΑΜΕΣΟΝ
ΤΟΥ ΑΔΕΛΦΟΥ ΑΥΤΟΥ. ΑΛΛΑ
ΑΔΕΛΦΟΣ ΜΕΤΑ ΑΔΕΛΦΟΥ
ΚΡΙΝΕΤΑΙ ΚΑΙ ΤΟΥΤΟ ΕΠΙ Α-
ΠΙΣΤΩΝ: ΗΔΗ ΜΕΝ ΟΥΝ ΟΛΩΣ

ἀλλὰ ταύτην ἀναμίξας τὸ πρᾶ-
γμα καὶ τὴν διόρθωσιν
αὐτοῦ μετὰ τῆς συμμονῆς
ἐπὶ τρίτας ἀρχῆ· αἰδεσθῶ-
μεν· φρίξωμεν, ὅτι τοῦ ἀ-
μνοῦ καθημένου· ἀξιωθέν-
τες γενέσθαι μέλη. τοσού-
τοις καλοῖς καταισχύνο-
ρλθ μεν ἑαυτούς: ὁ δὲ
θεὸς καὶ τὸν κύριον ἤγειρεν· καὶ
ἡμᾶς ἐξεγερεῖ διὰ τῆς
δυνάμεως αὐτοῦ·
Κατηγορήσας ἱκανῶς
τῶν γαστριμάργων· καὶ
τὴν τῶν μελλόντων εἶναι
διὰ τῆς κακίας ταύτης
ἐπαγ(αγών)· σκόπει δὲ πῶς
ἐπιμένει τοῦ κυρίου ἀπολαύσ(?)
ἐχθρῶν τὸν κύριον ἤγειρεν· ἐ-
πειδὴ τῶν ἡμετέρων σω-
μάτων. προσέθηκεν
δι᾽ αὐτῆς ἵνα ἀμφοτέρας αὐτοῦ
τὴν ἀξιοπιστίαν τῆς τοιούτοι-
οίντος ἰσχύος. τοὺς ἀπαλλέ-
γοντας ἐπὶ στομάχων· ἔτι δὲ
τῶν περὶ τὴν ἀνάστασιν λο-
γίζεσθαι τοῦ Χριστοῦ, μηδὲν ὑ-
μᾶς τοῦτο θορυβείτω· οὐ
γὰρ ὡς αὐτὸς ὁ μόνος τοῦ
νῦν τοῦτο τέθεικεν· αὐ-
τὸς γὰρ ἐπὶ μὲν λόγων· μνή-
σατε τὸν ναὸν τοῦτον, καὶ
ἐν τρισὶν ἡμέραις ἐγερῶ

αὐτόν· καὶ πάλιν· ἐξουσί-
αν ἔχω θεῖναι τὴν ψυχήν
μου καὶ ἐξουσίαν ἔχω λαβεῖν
αὐτήν. καὶ ὅλως καὶ ὁ δὲ
ἐνταῦθα παράξειν φησὶν
οἷς παρέδωκεν ἑαυτὸν
ζῶντα· τίνος οὖν ἕνε-
κεν οὕτω φησίν· ἵνα τοῦτο
μάθῃς· ὅτι καὶ τὰ τοῦ υἱοῦ τῷ
πατρὶ λογίζεσθαι καὶ τὰ τοῦ
πατρὸς τῷ υἱῷ· ὡς γὰρ αὐτὸς
ὁ κύριός φησιν· ἃ γὰρ ἂν ἐκεῖ-
νος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁ-
μοίως ποιεῖ· σφόδρα δὲ
εὐκαίρως ἐνταῦθα τῆς
ἀναστάσεως ἐμνημόνευ-
σεν· τοῖς εἰρημένοις ἐκείνοις
καταστέλλων τῆς ἀδηφα-
γίας τὴν τυραννίδα:
ρμ οὐκ οἴδατε ὅτι τὰ σώματα
ὑμῶν μέλη Χριστοῦ ἐστιν:
ἀπὸ τούτου ἀπορρεῖ κόπος(?)
ἐπὶ τὸν περὶ πορνείας λόγον μετ-
ιάς. πάλιν γὰρ ἀπὸ τούτου
ἤρξατο, ἐκεῖθεν ἀπέρχεσθαι· οὐ καὶ
λοιπὸν αὐτὸν διαλεγόμε-
νος. ἀλλὰ τοῖς ἄλλοις τοῖς
μὴ πεπορνευκόσι. καὶ τοῦ
τοὺς ἀσφαλιζόμενος. μὴ
ποτε περιπέσωσι τοῖς
αὐτοῖς: ἆρα οὖν τὰ
ρμα μέλη τοῦ Χριστοῦ· ποιήσω πόρ-
νης μέλη· μὴ γένοιτο·

μὴ δοῦλος τούτου τοῦ πάθους·
ὁ μὲν γὰρ καλῶς ὁ δεῖνα αὐτῷ κε-
χρημένος, αὐτὸς αὐτοῦ
κύριός ἐστιν· ὁ δὲ ὑπὲρ τὸ μέ-
τρον ἐξιών· οὐκέτι ἐστὶ κύ-
ριος, ἀλλὰ δοῦλος αὐτοῦ γίνε-
ται τῆς ἀδηφαγίας ὢν
τῶν τρυφώντων· ἴδε
πῶς τὸν νομίζοντα ἐξου-
σίαν ἔχειν, δείκνυσιν ὑπεξου-
σίαν ὄντα; τοῦτο γὰρ ἔθος
αὐτῷ ἀεί· τὰς ἐναντίας περι-
τρέπειν τὰς ἀντιθέσεις·
σκόπει δέ· ἐκεῖνοι μὲν ἔλε-
γον· ἔξεστί μοι τρυ-
φᾶν· αὐτὸς δέ φησιν· ὅτι
οὐχ οὕτως αὐτὸ ποιεῖς ὡς
ἐξουσίαν ἔχων αὐτοῦ· ἀλ-
λ' ὡς αὐτὸς ὑποκείμενος
τῇ ἐξουσίᾳ ταύτῃ· ὁ γὰρ
ἔχων ἐξουσίαν τῆς γαστρὸς
ἐστιν ἄσωτος ἦν· ἀλλ' αὐ-
τὸς οὐ τὴν ἐξουσίαν ἔχει·
τοῦτο δὲ καὶ ἐπὶ χρημάτων·
καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἁπάντων·
ρλζ τὰ βρώματα τῇ κοιλίᾳ, καὶ
ἡ κοιλία τοῖς βρώμασιν:
κοιλίαν ἐνταῦθα, οὐ τὴν γα-
στέρα, ἀλλὰ τὴν γαστριμαρ-
γίαν φησίν· ὥσπερ ὅταν λέγῃ·
ὧν ὁ θεὸς ἡ κοιλία· οὐ περὶ
τοῦ μέλλοντος λέγων· ἀλλὰ
περὶ τῆς ἀδηφαγίας· καὶ
τοὺς σώμασι διὰ παντὸς ἀκολου-
θοῦσί φησιν· τὸ δὲ σῶμα,
οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ·
ὁ δὲ λέγει τοιοῦτόν ἐστι· τὰ
βρώματα πρὸς τὴν γα-
στριμαργίαν ἔχει φιλίαν, καὶ
αὕτη πρὸς αὐτά· καὶ οὐ δύ-
ναται ἡμᾶς πρὸς τὸν χριστὸν
ἄγειν· ἀλλὰ πρὸς αὐτὰ ἕλκει·
πάθος γὰρ χαλεπὸν καὶ
θηριῶδές ἐστι· καὶ δουλεύειν
ποιεῖ καὶ ταύτῃ διακονεῖ-
σθαι παρασκευάζει:
ρλη ὁ δὲ θεὸς καὶ ταύτην καὶ
ταῦτα καταργήσει· τὸ δὲ
σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ
τῷ κυρίῳ· καὶ ὁ κύριος τῷ σώμα-
τι: οὐ γὰρ διὰ τοῦτο
κατεσκευάσθη, ἵνα ἀσώ-
τως ζῇς, καὶ πορνεύῃς· ὥσπερ
οὐδὲ κοιλίαν, ἵνα γαστρι-
μαργῇς, ἀλλ' ἵνα τῷ χριστῷ ἕ-
πηται ὡς κεφαλῇ· καὶ
ὁ κύριος τῷ σώματι ἐπικεῖ-
ται· οὐ τὴν γαστέρα μέμφε-
ται, ἀλλὰ τὴν ἄμετρον ἐπι-
θυμίαν· οὐδὲ τὴν τροφὴν,
ἀλλὰ τὴν τρυφήν· πρὸς
γὰρ ἐκεῖνα οὐ διαχωρεῖ·
ἀλλὰ καὶ μόνα ταῦτα περι-
αὐτῶν λέγων· ἔχοντες τρο-
φὴν καὶ σκεπάσματα,
τούτοις ἀρκεσθησόμεθα·

νη: ἀλλ' ὅμως τὸ καλὸν ζηλοῦντας
φησὶν καὶ σφόδρα ὑπερέ-
χον. ... μηδὲ ὅλως
ὁμιλεῖν γυναικί· ἀλλὰ τὸ
ἀσφαλὲς ζητῶν ...
... ἀναγκαῖον ...:
ρμϛ μὴ ἀποστερεῖτε ἀλλήλους
εἰ μή τι ἂν ἐκ συμφώνου
πρὸς καιρὸν ἵνα σχολάζητε
μὴ ... ἐκ ... φησὶν ...
μὴ τοῦ ἀνδρὸς ἄκοντος·
μηδὲ ὁ ἀνὴρ τῆς γυναικὸς
κοσμικοῦ ... ἐστι
δὲ ... ὅτι μεγάλα
... ἐγκράτεια ...
... καὶ ...
καὶ γὰρ πορνεῖαι καὶ μοι-
χεῖαι· καὶ οἶκων ἀνατρο-
παὶ πολλάκις ἐντεῦθεν
ρμζ ἐγένοντο: τῇ νηστείᾳ
καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐ-
πὶ τὸ αὐτὸ συνέρχησθε· ἵνα
μὴ πειράζῃ ὑμᾶς ὁ σατα-
νᾶς διὰ τὴν ἀκρασίαν ὑ-
μῶν· τοῦτο δὲ λέγω κατὰ
συγγνώμην: τὴν με-
γάλην ... σπουδὴν προ-
... :
ρμη οὐ κατ' ἐπιταγήν· θέλω γὰρ
πάντας ἀνθρώπους εἶναι ὡς
καὶ ἐμαυτόν: ...
... ὅτι· πολλαχοῦ
δὲ τοῦτο ποιεῖ· ὅταν ...

... παραινῇ πράγμα-
ρμθ των: ἀλλ' ἕκαστος ἴδιον
χάρισμα ἔχει ἐκ θεοῦ· ὁ μὲν
οὕτως· ὁ δὲ οὕτως: λέγω
δὲ τοῖς ἀγάμοις καὶ ταῖς
χήραις· καλὸν αὐταῖς ἐστὶν
ἐὰν μείνωσιν ὡς κἀγώ:
... σφόδρα αὐτὸν κα-
... διὰ
τὴν ἀκρασίαν ὑμῶν,
... παρεμυθή-
σατο ... χάρισμα
ρν ἐκ θεοῦ: εἰ δὲ οὐκ ἐγκρα-
τεύονται γαμησάτωσαν:
οὐκ ... μὴ ...
... ἐγκράτειαν
... μὴ ...
... γένηται: κρεῖσσον
γάρ ἐστιν γαμῆσαι ἢ πυροῦ-
σθαι· τοῖς δὲ γεγαμηκό-
σιν παραγγέλλω οὐκ ἐγὼ
ἀλλ' ὁ κύριος· γυναῖκα ἀπὸ ἀν-
δρὸς μὴ χωρισθῆναι·
ἐὰν δὲ καὶ χωρισθῇ μενέ-
τω ἄγαμος· ἢ τῷ ἀνδρὶ
καταλλαγήτω· καὶ ἄν-
δρα γυναῖκα μὴ ἀφιέναι·
τοῖς δὲ λοιποῖς ἐγὼ λέγω
οὐχ ὁ κύριος: ...
ὁ ...
... ὁ δὲ ... τοιοῦτον
...
... ἀλλ' ...

οὐκ οἴδατε ὅτι ὁ κολλώμενος
τῇ πόρνῃ ἓν σῶμά ἐστιν·
ἔσονται γάρ φησιν οἱ δύο εἰς
σάρκα μίαν· ὁ δὲ κολλώ-
μενος τῷ κῳ ἓν πνα ἐστιν:
ἐπὶ τὸ φρικωδέστερον μετα-
φέρει τὸν λόγον:
ρμβ φεύγετε τὴν πορνείαν
οὐκ εἶπεν ἀπέχεσθε τῆς πορ-
νείας, ἀλλὰ φεύγετε· τοῦ-
τ' ἔστι μετὰ πάσης σπουδῆς ποιεῖσθαι
τὴν ἀπαλλαγὴν τοῦ κα-
ρμγ κοῦ: πᾶν ἁμάρτημα
ὃ ἐὰν ποιήσῃ ἄνος· ἐκτὸς
τοῦ σώματός ἐστιν· ὁ δὲ
πορνεύων εἰς τὸ ἴδιον σῶ-
μα ἁμαρτάνει· ἢ οὐκ οἴ-
δατε ὅτι τὸ σῶμα ὑμῶν.
ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνς
ἐστιν, οὗ ἔχετε ἀπὸ θυ·
καὶ οὐκ ἐστὲ ἑαυτῶν· ἠ-
γοράσθητε γὰρ τιμῆς· δο-
ξάσατε δὴ τὸν θν ἐν τῷ
σώματι ὑμῶν. καὶ ἐν
τῷ πνι ὑμῶν. ἅτινά
ἐστι τοῦ θυ: τοῦ κυρι-
ακοῦ δηλονότι· ἐπειδὴ
γὰρ πολλὴν [illegible]
μέλη χυ αὐτοὺς ὄντας ἔδει-
ξεν· καὶ σῶμα αὐτοῦ καὶ
αὐτὸν εἶναι κεφαλήν· ἵνα
μή τις εἴπῃ [illegible] ὑπολάβοι· ὡς
αὐτοῦ τοῦ χυ τὸ σῶμα μι-
αίνεται παρὰ πορνεύσαντος ἀν-
θρώπου. λέγει· ὥσπερ γὰρ ὁ
κολλᾶται τῇ πόρνῃ. οὐκ ἔτι οὐ-
δὲ σῶμα οὐδὲ μέλη χυ ἐστιν.
ἀλλ' εἰς ἴδιον σῶμα ἁμαρ-
τάνει. φεύγουσα γὰρ ἡ χά-
ρις τὸν πορνεύοντα ἀφίησιν
αὐτὸν τοῦ εἶναι μέλος σώμα-
τος χυ. ὥστε σημαίνει μὲν αὐτὸν
εἰς ἴδιον σῶμα τὴν ἁμαρ-
ρμδ τίαν ποιεῖν: περὶ δὲ ὧν
ἐγράψατέ μοι: διορθώ-
σας τὰ χαλεπώτερα ἐγ-
κλήματα· ἓν μὲν τὸ διὰ
τὴν ἐκκλησίαν. δεύτερον
δὲ τὸ τοῦ πεπορνευκότος
τρίτον τὸ τοῦ πλεονεκτοῦντος
χρήμασι καὶ ποιοῦντος ἑτέ-
ρω λόγων· καὶ μεταξὺ τίθη-
σι παραίνεσιν καὶ συμβουλὴν
τὴν περὶ τοῦ γάμου καὶ τῆς
ρμε παρθενίας: καλὸν
ἀνῳ γυναικὸς μὴ ἅπτεσθαι·
διὰ δὲ τὰς πορνείας. ἕκα-
στος τὴν ἑαυτοῦ γυναῖκα
ἐχέτω, καὶ ἑκάστη τὸν
ἴδιον ἄνδρα ἐχέτω· τῇ
γυναικὶ ὁ ἀνὴρ τὴν ὀφει-
λομένην εὔνοιαν ἀποδι-
δότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ
τῷ ἀνδρί· ἡ γυνὴ τοῦ ἰδί-
ου σώματος οὐκ ἐξουσιά-
ζει ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ
καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώμα-
τος οὐκ ἐξουσιάζει. ἀλλ' ἡ γυ-

ἐπειδὴ οὐδέν ἐστιν· ἀλλὰ τήρη-
σις ἐντολῶν θυ· ἕκαστος
ἐν τῇ κλήσει ᾗ ἐκλήθη ἐν
ταύτῃ μενέτω· δοῦλος
ἐκλήθης μή σοι μελέτω:
ταῦτα φησὶν ἐπειδὴ καὶ περιτομῆς
οὐδὲν ὄντων τούτων· μὴ τοί-
νυν φιλονείκει μηδὲ θορυ-
βοῦ. καὶ γὰρ [illegible]
[illegible] ταῦτα· τὸ δὲ
μή σοι μελέτω. ἀντὶ τοῦ
μὴ [illegible] τὸ μὴ [illegible]
[illegible]:
ρνη ἀλλ' εἰ καὶ δύνασαι ἐλεύ-
θερος γενέσθαι. μᾶλλον
χρῆσαι: τουτέστι μᾶλλον
δούλευε· καὶ τί δήποτε
τὸν δυνάμενον ἐλεύθε-
ρον εἶναι, κελεύει μένειν
δοῦλον· θέλων δεῖξαι ὅτι
οὐδὲν βλάπτει ἡ δουλεία
ἀλλὰ καὶ ὠφελεῖ:
ρνθ ὁ γὰρ ἐν κω κληθεὶς δοῦλος
ἀπελεύθερος κυ ἐστιν· ὁ-
μοίως καὶ ὁ ἐλεύθερος κλη-
θεὶς. δοῦλός ἐστιν χυ:
ὅρα πῶς παρεμυθήσα-
το τὴν δουλείαν· τὸν μὲν
καλούμενον δοῦλον. ἀπε-
λεύθερον λέγων χυ· τὸν δὲ
καλούμενον ἐλεύθερον. δοῦ-
λον λέγων χυ· [illegible]
δούλους [illegible] διδούς·

[illegible] ἀμφότεροι κα-
τὰ τὸν τῆς [illegible] λόγον:
ρξ τιμῆς ἠγοράσθητε. μὴ γί-
νεσθε δοῦλοι ἀνων· ἕκα-
στος ἐν ᾧ ἐκλήθη ἀδελφοί
ἐν τούτῳ μενέτω παρὰ θω·
περὶ δὲ τῶν παρθένων ἐπι-
ταγὴν κυ οὐκ ἔχω· γνώμην
δὲ δίδωμι ὡς ἠλεημένος
ὑπὸ κυ πιστὸς εἶναι· νο-
μίζω οὖν τοῦτο καλὸν ὑπάρ-
χειν διὰ τὴν ἐνεστῶσαν ἀ-
νάγκην. ὅτι καλὸν ἀνω
τὸ οὕτως εἶναι· δέδεσαι
γυναικί. μὴ ζήτει λύσιν·
λέλυσαι ἀπὸ γυναικός.
μὴ ζήτει γυναῖκα· ἐὰν
δὲ καὶ γήμῃς. οὐχ ἥμαρ-
τες· καὶ ἐὰν γήμῃ ἡ παρ-
θένος οὐχ ἥμαρτεν· θλί-
ψιν δὲ τῇ σαρκὶ ἕξουσιν
οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν
φείδομαι· τοῦτο δέ
φημι ἀδελφοί ὁ καιρὸς συ-
νεσταλμένος τὸ λοιπόν
ἐστιν· ἵνα καὶ οἱ ἔχοντες
γυναῖκας. ὡς μὴ ἔχοντες
ὦσιν· καὶ οἱ κλαίοντες.
ὡς μὴ κλαίοντες· καὶ οἱ
χαίροντες. ὡς μὴ χαίρον-
τες· καὶ οἱ ἀγοράζοντες
ὡς μὴ κατέχοντες· καὶ
οἱ χρώμενοι τῷ κόσμῳ
τούτῳ. ὡς μὴ καταχρώ-

λέγει θεωρῶν καὶ ἱδρώτων
μήποτε καὶ παραιτ
ρνβ τῆς: εἴ τις ἀδελφὸς
γυναῖκα ἔχει ἄπιστον
καὶ αὐτὴ συνευδοκεῖ οἰ
κεῖν μετ' αὐτοῦ, μὴ ἀφιέ
τω αὐτήν· καὶ γυνὴ ἥτις
ἔχει ἄνδρα ἄπιστον· καὶ
αὐτὸς συνευδοκεῖ οἰκεῖν
μετ' αὐτῆς, μὴ ἀφιέτω
αὐτόν: τὸν πρὸ τῆς
χάριτος ἔχοντα ἄπιστον
γυναῖκα οὐ κελεύει ἀφι
έναι μετὰ τὴν χάριν·
τὸν δὲ καὶ μετὰ τὴν χάριν
δεξάμενον· κωλύει ἄπι
στον λαμβάνειν γυναῖκα:
ρνγ ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπι
στος ἐν τῇ γυναικί· καὶ ἡ
γίασται ἡ γυνὴ ἡ ἄπιστος
ἐν τῷ ἀνδρί· ἐπεὶ ἄρα τὰ
τέκνα ὑμῶν ἀκάθαρ
τά ἐστιν: ἵνα μὴ φο
βῆται καὶ ἡ γυνὴ ὡς ἀκάθαρ
τος γινομένη διὰ τὴν μῖ
ξιν τοῦτό φησιν· ἓν μὲν
γὰρ σῶμα γίνονται· ἀλλ' οὐ γί
νεται ἀκάθαρτον· νικᾷ
γὰρ ἡ καθαρότης τῆς
γυναικὸς τὴν ἀκαθαρ
σίαν τοῦ ἀνδρός· καὶ πάλιν
ἡ καθαρότης τοῦ πιστοῦ
ἀνδρὸς πάλιν τὸ ἀκάθαρ
τον τῆς ἀπίστου γυναικός:
ρνδ εἰ δὲ ὁ ἄπιστος χωρίζεται
χωριζέσθω· οὐ δεδούλω
ται ὁ ἀδελφὸς ἢ ἡ ἀδελ
φὴ ἐν τοῖς τοιούτοις:
οἷον ἐὰν κελεύῃ σοι θύειν καὶ
κοινωνεῖν αὐτῷ τῆς ἀσε
βείας διὰ τὸν γάμον· ἢ ἀ
ναχωρεῖν, κρεῖττον διασπα
σθῆναι τὸν γάμον· ἢ τὴν
εὐσέβειαν: ρνε ἐν δὲ εἰρή
νῃ κέκληκεν ὑμᾶς ὁ θεός:
τοῦτό φησιν· ἵνα μὴ καθ' ἑ
κάστην ἡμέραν πόλεμον
ἔχουσι περὶ τοῦ πράγματος:
ρνϛ τί γὰρ οἶδας γύναι, εἰ τὸν
ἄνδρα σώσεις· ἢ τί οἶδας
ἄνερ εἰ τὴν γυναῖκα σώ
σεις· εἰ μὴ ἑκάστῳ ὡς ἐ
μέρισεν ὁ θεός· ἕκαστον
ὡς κέκληκεν ὁ κύριος· οὕτω
περιπατείτω· καὶ οὕτως
ἐν ταῖς ἐκκλησίαις πά
σαις διατάσσομαι:
μένε καὶ παραμένε φη
σὶν ...
οὐδὲν γὰρ οὕτω διδάσκα
λος δύναται ὡς γυνή:
ρνζ περιτετμημένος τις ἐκλή
θη μὴ ἐπισπάσθω· ἐν ἀκρο
βυστίᾳ τις ἐκλήθη μὴ πε
ριτεμνέσθω· ἡ περιτομὴ
οὐδέν ἐστιν· καὶ ἡ ἀκροβυ

θρώπων. ἀλλ᾽ αἱ τῶν εἰδώλων ἑορ-
ταὶ ἦσαν· ἔστι ταῖς εἰδωλολα-
τρείαις καὶ μῦθοι καὶ δαίμο-
νες· οὔτε κρατεῖται οὔτε ἀ-
φεθῆναι δύναται. ἀ-
μαρτία τῆς ἀγνοίας τῆς τῶν
γνωστῶν ταύτης ἐκε-
χρῆντο, καὶ ἐστὶν ἑτέ-
ρων καὶ ἐστὶν ἑαυτῶν
κακίαν· καὶ γὰρ εἰδω-
λομανεῖς ἦσαν καὶ τῶν
τραπεζῶν αὐτῶν μετεῖχον
καὶ μεγάλα ἐντεῦθεν ὄλε-
θρον ἔτικτον· οἱ τε γὰρ
ἔτι τῶν εἰδώλων ἔχοντες
φόβον. καὶ οὐκέτι δὲ τοῦ
αὐτοῦ καταφρονεῖν. με-
τεῖχον ἑτοίμως τῶν εἰδω-
λοθύτων, ἐπειδὴ τοὺς
τελείους ἑτέρους ἑώρων
τοῦτο ποιοῦντας. καὶ
τὰ μέγιστα ἐντεῦθεν ἐ-
κακοῦντο. οὐδὲ γὰρ τῇ
ὁμοίᾳ ἐκείνων γνώσει
κινούμενοι αὐτῶν. ἀλλὰ ὡς
θυσιῶν· καὶ ὁδὸς ἐπὶ εἰ-
δωλολατρείαν τὸ πρᾶ-
γμα ἐγίνετο· καὶ αὐτοὶ δὲ
οἱ δοκοῦντες τέλειοι. οὐχ ὡς
ἔτυχεν ἐκινδύνευον. δαι-
μονικῶν μεταλαμβάνοντες
τῶν τραπεζῶν· τούτου
ὄντος τοῦ ἐγκλήματος. ὅ-
ρα πῶς ὁ ἀπόστολος τὸν
λόγον μεταχειρίζεται·
ρξβ Οἴδαμεν ὅτι πάντες γνῶ-
σιν ἔχωμεν:· Τοὺς
ἀσθενεστέρους ἀφεὶς. ὁ Παῦλος
ποιεῖ, τοῖς ἰσχύουσι δια-
λέγεται πρώτοις· πρῶ-
τον μὲν οὖν αὐτῶν κα-
ταστέλλει τὸν τῦφον. φά-
σκων τοὺς πάντας ἔχειν
τὴν γνῶσιν· οἱ γὰρ ἔχον-
τες τι μέγα καὶ καλόν. ὅ-
ταν μόνοι κατέχωσιν. μᾶλ-
λον ἐπαίρονται· ἐὰν δὲ
μετὰ ἄλλων φανῶσιν αὐτοῦ
κοινωνοί. οὐκέτι ὁμοί-
ως τοῦτο πάσχουσιν· ποι-
εῖ οὖν αὐτὸ κοινόν. ἐπειδὴ
καὶ ἐκεῖνοι ἑαυτοῖς ἐπεμ-
ερίζον αὐτὸ μόνον:·
ρξγ Ἡ γνῶσις φυσιοῖ. ἡ δὲ ἀγά-
πη οἰκοδομεῖ: Ὅταν
γὰρ χωρὶς ἀγάπης ᾖ. ἐπ-
αίρει μὲν ἐπαίρεται τοὺς ἔχον-
τας· καὶ διαιρεῖν ἐργάζεται
καὶ ἀλαζονείαν. οὐκ ὡς μεμφόμενος δὲ
τὸ τὴν γνῶσιν ἔχειν τὴν γνῶ-
σιν. ἀλλὰ τὸ μετὰ ἀγάπης
ταύτην ἔχειν κελεύων· ἐπεὶ
δὴ χωρὶς ἀγάπης κέρδος
οὐδέν, ἀλλὰ καὶ βλάβος:·
ρξδ Εἰ δέ τις δοκεῖ εἰδέναι τι.
οὐδέπω οὐδὲν ἔγνωκεν

μενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου· θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι· ὁ ἄγαμος μεριμνᾶ τὰ τοῦ κυ· πῶς ἀρέσει τῶ κω· ὁ δὲ γαμήσας, μεριμνᾶ τὰ τοῦ κόσμου. πῶς ἀρέσει τῆ γυναικί· μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾶ τὰ τοῦ κυ. ἵνα ἦ ἁγία καὶ σώματι καὶ πνι· ἡ δὲ γαμήσασα, μεριμνᾶ τὰ τοῦ κόσμου πῶς ἀρέσῃ τῶ ἀνδρί· τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω. οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω. ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῶ κω ἀπερισπάστως· εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει· ἐὰν ἦ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι, ὁ θέλει ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν· ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῆ καρδία. μὴ ἔχων ἀνάγκην. ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος. καὶ τοῦτο κέκρικεν ἐν τῆ καρδία αὐτοῦ τὸ τηρεῖν τὴν ἑαυτοῦ παρθένον. καλῶς ποιεῖ· ὥστε ὁ ἐκγαμίζων καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ·

Γυνὴ δέδεται νόμω ἐφ᾽ ὅσον χρόνον ζῆ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ καὶ κοιμηθῆ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ὧ θέλει γαμηθῆναι· μόνον ἐν κω· μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνη κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνα θυ ἔχειν:

οὗτος ὁ λόγος οὐ πρὸς οἰκέτας μόνον, ἀλλὰ καὶ πρὸς ἐλευθέρους εἴρηται· ἔστι γὰρ καὶ δουλεύοντα μὴ εἶναι δοῦλον· καὶ ἐλεύθερον ὄντα δοῦλον εἶναι· πῶς οὖν ὁ δοῦλος οὐκ ἔστι δοῦλος, ἀλλ᾽ ὅταν διὰ τὸν θεὸν πάντα ποιῇ, καὶ μὴ δι᾽ ὑπόκρισιν καὶ τὸ ὀφθαλμοδουλεῖν ἀλλὰ προαιρέσει· πάλιν δὲ ὁ ἐλεύθερος οὐκ ἔστιν ἐλεύθερος ὅταν διακονῆται ἀνθρώποις. καὶ πάντα κατὰ τὸ ἐκείνοις ἀρέσκον ποιῇ:

ρξα περὶ δὲ τῶν εἰδωλοθύτων·
πολλοὶ παρ᾽ αὐτοῖς Κορινθίοις μαθόντες ὅτι οὐ τὰ εἰσπορευόμενα κοινοῖ τὸν ἄν

ομμέγαν καὶ τὴν ὅσην μὲν
καὶ τὸν μέλλοντα. τὸν μὲν
ῥοῦν χορόν. καὶ γὰρ αὐτοὶ ρο
προσδοκῶμεν ἐμμελῶς
ὡς θεοὶ. οἱ γὰρ δὲ δαί
μονας. καὶ τοὺς ἐξ ἀρχῆς
θεοποιηθέντας ἀπαρτάς:
ρζη ἀλλ' ἡμῖν εἷς θ(εὸ)ς ὁ π(ατ)ὴρ ἐξ οὗ
τὰ πάντα. πρότερον
φασὶν ὁ τί οὐδεὶς θ(εὸ)ς ἄλλος
εἰ μὴ εἷς. νῦν τοῦτο προ
στίθησιν. ἔστι καὶ ὁ π(ατ)ὴρ
τὸ ἴδιον ὄνομα θ(εό)τητος. ἐξ
τοῦτο ἀπαρχή. ἐξ οὗ τὰ πάν
τα λέγων. τοῦτο γὰρ δη
λοῖ σὺν. καὶ ἐσμὲν οὐ κ(α)τ(ὰ)
τοὺς θεοὺς. θεοὶ γὰρ οἱ
τὸν οὐρανὸν καὶ τὴν γῆν
οὐκ ἐποίησαν. ἀπολέ
ρζθ σθωσαν φησίν: καὶ
ἡμεῖς εἰς αὐτόν: ὅταν
μὲν ἐξ αὐτοῦ τὰ πάντα με
γ(ά)λ(α). τὴν δημιουργίαν λέγει
καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς
τὸ εἶναι παραγωγήν. ὅ
ταν δὲ ἐξ ἡμῖν καὶ ἡμεῖς εἰς αὐ
τόν. τὸν πιστοὺς ἡμᾶς
λέγων μετὰ τὸν λόγον. δι' ἡμῖν
γὰρ τὸν ἐξ αὐτοῦ. καὶ τοῦ
μὴ ὄντος γενέσθαι. καὶ τοῦ
πιστοὺς γενέσθαι. καὶ γὰρ
τὸ πιστεύσαι ἐξ αὐτοῦ. λέγεται
οἷς καλεῖται. ἡ μὲν γὰρ κτί

σι φησὶ τοῖς δὲ ὀνομασίως
εἶναι κ(αὶ) μόνον αὐτόν: καὶ
εἷς κ(ύριο)ς ἰ(ησοῦ)ς χ(ριστὸ)ς δι' οὗ τὰ πάν
τα καὶ ἡμεῖς δι' αὐτοῦ. ἀλ
λ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις:
ἐν τοῖς χ(ριστο)ῦ πάλιν καὶ τοῦτο
μόνον. δι' αὐτοῦ γὰρ καὶ
ἐκ τοῦ μὴ ὄντος παρήχθη
τὸ τῶν ἀνθρώπων γένος. καὶ ἀπο
πλανηθέντας ἀναστᾶν ἀπα
λλαγέντων. ὥσπερ τὸ ἴδιον τοῦ
θ(εο)ῦ οὐ καταχωρίζει τοῦ υἱοῦ
ἐξ αὐτοῦ γὰρ δι' αὐτοῦ χ(ριστο)ῦ ἐδή
λωσεν ἡμῖν. οὐ μὴν οὖν
δι' ὀνόματα ὡς ἄπολε
λυμένων ἀλλήλων. τοῦ
μὲν υἱοῦ τὸ κ(ύριο)ς. τοῦ δὲ πρὶ
τὸ θ(εὸ)ς προσρήματος. οἶδεν
γὰρ αὐτὰ καὶ ἐναλλὰξ ἡ
γραφὴ πολλάκις. ὡς
ὅταν λέγῃ. ὁ ἐν μέσῳ τοῦ
κόσμου. καὶ πάλιν δι' αὐτοῦ
τὸ κρίσιμον ὁ θ(εὸ)ς ὁ θ(εὸ)ς σου.
καὶ ἐξ ὧν ὁ χ(ριστὸ)ς τὸ κατὰ σάρ
κα ὁ ὢν ἐπὶ πάντων θ(εό)ς.
καὶ πολλαχοῦ ἀλλαχοῖς ταῦ
τα μεταλαμβάνονται τὰ ὀ
νόματα. ἐν δὲ μὲν ἐλέγοι
εἶναι. τίνος ἕνεκεν πρῶτον
οὐκ ἐμνημόνευσεν. εἰς
μόνον ἐπειδὴ. ὅτι πρὸς
ἐκ δόλου μάτην τὸν λόγον
αὐτοῦ. καὶ περὶ θεῶν πολ

καθὼς δεῖ γνῶναι. εἰ δέ
τις ἀγαπᾷ τὸν θεόν, οὗτος ἔ-
γνωσται ὑπ' αὐτοῦ: Ὅρα
δι' ὅσων αὐτῶν καθεῖλεν
τὸ ὕψωμα. πρῶτον μὲν
γὰρ ἔδειξεν ὅτι οὐ μόνοι
ἐπίστανται ἅπερ ἴσασι·
πάντες γάρ φησι γνῶσιν
ἔχομεν. ἔπειτα ὅτι καὶ
βλαβερὸν τὸ πρᾶγμα χωρὶς
ἀγάπης. ἡ γνῶσις γὰρ
φησὶ φυσιοῖ. ἔπειτα ὅτι
καὶ μετὰ ἀγάπης. καὶ
οὐκ ἀπηρτισμένον ἐστὶν
οὐδὲ τέλειον. εἴ τις γὰρ
δοκεῖ ἐγνωκέναι τί φησιν.
οὐδέπω ἔγνωκε καθὼς
δεῖ γνῶναι. πρὸς τούτοις
ὅτι οὐδὲ τοῦτο οἴκοθεν ἔ-
χουσιν, ἀλλὰ τοῦ θεοῦ δω-
ρησαμένου. οὐ γὰρ εἶπεν
ἔγνω τὸν θεόν, ἀλλ' ἔγνωσται
ὑπ' αὐτοῦ. ἔπειτα ὅτι ἀπὸ
ἀγάπης γίνεται τοῦτο αὐ-
τό, ἣν οὐκ ἔχουσιν ὡς χρή.
εἰ γάρ τις φησὶν ἀγαπᾷ αὐ-
τὸν θεόν, οὗτος ἔγνωσται
ρξε ὑπ' αὐτοῦ:· ΠΕΡΙ ΤΗΣ
ΒΡΩΣΕΩΣ ΟΥΝ ΤΩΝ ΕΙΔΩ-
ΛΟΘΥΤΩΝ, ΟΙΔΑΜΕΝ ΟΤΙ
ΟΥΔΕΝ ΕΙΔΩΛΟΝ ΕΝ ΚΟΣΜΩ
ΚΑΙ ΟΤΙ ΟΥΔΕΙΣ ΘΕΟΣ ΕΤΕΡΟΣ
ΕΙ ΜΗ ΕΙΣ:· ἀμφότε-
ρα νῦν οὐ μέγα κατασκευάσαι
ὅτι τε αὐτοὺς ἔχεσθαι δεῖ τῆς
τοιαύτης τραπέζης. καὶ ὅτι
ἰσχὺν οὐκ ἔχει ἡ ἐπὶ τὸ μιαίνειν
τοὺς μετέχοντας. αὐτὸ δὲ
ἐναντία ἀμφότερα ἐστίν.
γνωστὸν γὰρ ὅτι οὐκ ἔστι
μιαίνειν. οὕτως ἀδιάφο-
ρος ἐν μέσῳ μὲν ἔστι τρέχειν.
κωλυθέντος δὲ αὐτῶν ἀ-
πέχεσθαι. τὸ δ' ἄλλο ὑπὸ τοῦ-
του. ὅτι ὡς ἰσχὺν ἔχοντων
ἐστὶ σου καὶ τῶν μὲν κωλυθέντων·
διὸ δὴ πρῶτον καθαιρεῖ
τὴν τῶν εἰδώλων ὑπόνοι-
αν. τὸ γὰρ οὐδὲν ἐστὶ τοῦ μὴ
ἔχειν ἰσχὺν αὐτά, τέθειται:·
ρξς ΚΑΙ ΓΑΡ ΕΙΠΕΡ ΕΙΣΙΝ ΟΙ ΛΕΓΟ-
ΜΕΝΟΙ ΘΕΟΙ:· Ἐπειδὴ εἶ-
πεν ὅτι οὐδὲν εἴδωλον. καὶ
οὐδεὶς θεὸς εἰ μὴ εἷς. ἦν δὲ καὶ
εἴδωλα. ἦσαν δὲ καὶ θεοὶ
λεγόμενοι. ἵνα μὴ δόξῃ
τοῖς φανεροῖς μάχεσθαι
ἐπάγει λέγων. τὸ εἴπερ εἰσὶ
λεγόμενοι θεοί. καὶ οὐκ
ὄντως εἰσίν. οὐκ ἀληθῶς εἰσίν.
ἀλλὰ λεγόμενοι. καὶ οὐκ ἐν
πράγματι, ἀλλ' ἐν ῥήματι
τοῦτο ἔχοντες:· ρξζ ΕΙΤΕ
ΕΝ ΟΥΡΑΝΩ ΕΙΤΕ ΕΠΙ ΓΗΣ. ΩΣ-
ΠΕΡ ΕΙΣΙ ΘΕΟΙ ΠΟΛΛΟΙ ΚΑΙ ΚΥΡΙ-
ΟΙ ΠΟΛΛΟΙ:· Ἐν οὐρανῷ τὸν ἥλι-

φησὶν βρῶμα ἡμᾶς οὐ παρί-
ροε στησι τῷ θεῷ: ΟΥΤΕ ΕΑΝ ΜΗ
ΦΑΓΩΜΕΝ ὙΣΤΕΡΟΥΜΕΘΑ
τουτέστιν οὐκ ἔλαττόν τι ἔχο-
ρος μεν: ΟΥΤΕ ΕΑΝ ΦΑΓΩΜΕΝ
ΠΕΡΙΣΣΕΥΟΜΕΝ: τουτέστιν
οὐκ εὐδοκιμοῦμεν παρὰ
τῷ θεῷ ὡς ἀγαθόν τι ποιή-
σαντες καὶ μέγα: ΒΛΕΠΕ-
ροζ ΤΕ ΔΕ ΜΗΠΩΣ Η ΕΞΟΥΣΙΑ ὙΜΩΝ
ΑΥΤΗ ΠΡΟΣΚΟΜΜΑ ΓΕΝΗΤΑΙ
ΤΟΙΣ ΑΣΘΕΝΕΣΙΝ: οὐκ εἶ-
πεν ἡ γνῶσις ὑμῶν· οὐδὲ ἡ
τελειότης ὑμῶν. ἀλλ' ἡ ἐξου-
σία· ὅπερ προπετείας μᾶλ-
λον καὶ αὐθαδείας ἐμφαίνειν
δοκεῖ. καὶ οὐκ εἶπε τοῖς
ἀδελφοῖς. ἀλλὰ τοῖς ἀσθε-
νέσι τῶν ἀδελφῶν· αὔξων
τὴν κατηγορίαν. ὅτι οὐδὲ
ἀσθενούντων φείδονται
καὶ τούτων ἀδελφῶν:
ροη ΕΑΝ ΓΑΡ ΤΙΣ ΙΔΗ ΣΕ ΤΟΝ ΕΧΟΝ-
ΤΑ ΓΝΩΣΙΝ ΕΝ ΕΙΔΩΛΕΙΩ
ΚΑΤΑΚΕΙΜΕΝΟΝ. ΟΥΧΙ Η ΣΥ-
ΝΕΙΔΗΣΙΣ ΑΥΤΟΥ ΑΣΘΕΝΟΥΣ
ΟΝΤΟΣ ΟΙΚΟΔΟΜΗΘΗΣΕΤΑΙ
ΕΙΣ ΤΟ ΤΑ ΕΙΔΩΛΟΘΥΤΑ Ε-
ΣΘΙΕΙΝ:- τουτέστι τὸ
ροθ τέλειον: ΚΑΙ ΑΠΟΛΕΙΤΑΙ
Ο ΑΣΘΕΝΩΝ ΑΔΕΛΦΟΣ ΕΠΙ
ΤΗ ΣΗ ΓΝΩΣΕΙ ΔΙ' ΟΝ ΧΡΙΣΤΟΣ ΑΠΕ-
ΘΑΝΕΝ: τέσσαρα τί-

θησιν ἐγκλήματα. καὶ σφό-
δρα μέγιστα· ὅτι καὶ ἀδελ-
φὸς καὶ ἀσθενῶν. καὶ ὃν
τοσοῦτον ὁ Χριστὸς ἐποιήσατο
λόγον, ὡς καὶ ἀποθανεῖν ὑ-
πὲρ αὐτοῦ· καὶ ὅτι μετὰ
ταῦτα πάντα διὰ βρώ-
ματα ἀπόλλυται:
ρπ ΟΥΤΩΣ ΔΕ ΑΜΑΡΤΑΝΟΝΤΕΣ
ΕΙΣ ΤΟΥΣ ΑΔΕΛΦΟΥΣ ΚΑΙ ΤΥ-
ΠΤΟΝΤΕΣ ΑΥΤΩΝ ΤΗΝ ΣΥΝΕΙ-
ΔΗΣΙΝ ΑΣΘΕΝΟΥΣΑΝ. ΕΙΣ ΧΡΙΣΤΟΝ
ΑΜΑΡΤΑΝΕΤΑΙ: ὅρα
πῶς κατὰ μικρὸν ἐπ' αὐτὴν
τῆς παρανομίας τὴν κο-
ρυφὴν τὸ ἁμάρτημα ἤγα-
γεν. καὶ πάλιν τῆς ἀσθε-
νείας ἐμνημόνευσε τῆς
ἐκείνων· ἵν' ὅπερ ἐνόμιζον
οἱ ἐγκαλοῦντες ὑπὲρ αὐτῶν
εἶναι. τοῦτο πανταχοῦ εἰς
τὴν ἑαυτῶν ἀρὰν περι-
τρεπόμενον κεφαλήν·
πῶς δὲ εἰς Χριστὸν ἁμαρτάνου-
σιν· ἕνα μὲν τρόπον. ὅτι τὰ τῶν
οἰκετῶν αὐτὸς οἰκειοῦται·
δεύτερον δὲ ὅτι εἰς τὸ σῶμα
αὐτοῦ. καὶ εἰς τὸ μέλος τελοῦ-
σιν οἱ τυπτόμενοι· τρίτον
δέ. ὅτι τὸ ἔργον αὐτοῦ. ὃ
δι' ἀνῃρ οἰκείας ᾠκοδόμη-
σε σφαγῆς. τοῦτο καθαι-
ρπα ροῦσιν: ΔΙΟΠΕΡ ΕΙ ΒΡΩΜΑ

μόνον ἀγαθόν. καὶ περὶ κυρί-
ου μόνον. διὸ καὶ ἐπὶ τὸν
πατέρα τὸν κύριον τὸν κύ-
ριον ὀνομάσας. ἐστοίμασε τὸν
πατρὸς οὐκ ἀφαιρήσας καὶ θε-
ὸν εἶναι μόνον αὐτοῦ υἱὸν, ἵ-
να μὴ δύο παρ' ἐκείνοις
νομισθῆ κύριοι καὶ θεοὶ
οἱ. οὐδὲ τὸν υἱὸν θεὸν εἶναι
τοῦ πατρός. ἵνα μὴ δύο θεοὺς
νομισθῆ καὶ θεοῦ. τί θαυ-
μάζεις εἰ τοῦ πατρὸς οὐκ ἐ-
μνημόνευσεν. πρὸς γὰρ
ἐκείνους αὐτῷ ὁ λόγος ἦν
ὁ ἀγὼν καὶ τοὺς τοῦ
καὶ πολυθεΐα παρ' ἡμῖν.
διὸ τὸ ἴσος συνεχῶς καὶ
χάριτος. οὐδὲ θεὸς
ὁ. καὶ πάλιν. καὶ ἡμεῖς
εἰς θεὸν καὶ εἷς κύριος. ὁ θεὸς δὲ
λόγου τί φθέγγομαι τῶν
ἀσθενεστέρων ἀκουόν-
των. ταύτῃ ἐχρήσατο
τῇ διαστολῇ.
ροα τινὲς καὶ τῇ συνειδήσει τοῦ εἰ-
δώλου: οὔτε ἐκείνω
περὶ αὐτοὺς σαφῶς ἵνα
μὴ πλήξῃ. οὔτε παρα-
τρέχει καθόλου. ἀλλ' αἰ-
τιασάμενος αὐτοὺς μέμφε-
ροβ ται: ἕως ἄρτι ὡς εἰ-
δωλόθυτον ἐσθίουσιν:

μένα τοσαύτης διαφοράς
μετὰ τὸ πρότερον:
ρογ καὶ ἡ συνείδησις αὐτῶν
ἀσθενὴς οὖσα μολύνεται:
οὐδέπω δυναμένη καταφρονῆσαι.
φρονῆσαι. οὐδὲ εἰς ἅπαξ
αὐτῶν καταγελάσαι.
ἀλλ' ἔτι διακρινομένη.
οὐδαμοῦ δὲ περὶ τὴν φύ-
σιν τοῦ πράγματος τὸν λό-
γον ἵστησιν. ἀλλ' ἄνω καὶ
κάτω κατὰ τὸ συνειδὸς
τοῦ μεταλαμβάνοντος
στρέφεται. δέδοικε γὰρ
μὴ θέλων διορθῶσαι τὸν
ἀσθενῆ πλήξῃ τὸν ἰσχυρὸν
καὶ ἀσθενῆ ποιήσῃ τοῦτον ἐργά-
ροδ σηται: βρῶμα δὲ ἡμᾶς
οὐ παρίστησι τῷ θεῷ:
ὅρα πῶς πάλιν αὐτῶν
καθαιρεῖ τὸ φρόνημα
λέγων. ὅτι καὶ μηδὲ
ἐκλάσθαι. μηδὲ τὶ τοῦ
φέρεσθαι πρὸς τὴν διαφο-
ρὰν. οὐδὲ οὕτως ἐδεῖ τοῦ-
το ποιεῖν. ματαιοπονεῖν
γὰρ τοῦτό ἐστιν. ὁ γὰρ ἀκού-
σας ὅτι κρείττων μέν ἐ-
ρος. αὐτὸς δὲ ὅτι κέρδος
οὐ σφόδρα ἀξιώσαι. ἀλ-
λὰ τὸ τε μᾶλλον ὅταν μάθῃ
ὅτι αὐτὸς οὐδὲν ὠφελεῖται
ἐκ τοῦ πράγματος. διὰ τοῦτο

ἑώρακα· καὶ [illegible]
οὐδὲν [illegible] ἀποστόλου
ἔργον· διὰ τοῦτό φησιν· τὸ
ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ·
καὶ [illegible]
το· τὸ ἐν κῳ προστίθησιν·
τουτέστιν τοῦ θεοῦ τὸ ἔργον ἐστὶν
ρπδ οὐκ ἐμόν: ἡ γὰρ σφραγίς
τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς
ἐστε ἐν κῳ· ἡ ἐμὴ ἀπολο
γία τοῖς ἐμὲ ἀνακρίνουσι
αὕτη ἐστίν· μὴ οὐκ ἔχω
μεν ἐξουσίαν φαγεῖν καὶ
πιεῖν· μὴ οὐκ ἔχωμεν ἐ
ξουσίαν ἀδελφὴν γυναῖ
κα περιάγειν· ὡς καὶ οἱ λοι
ποὶ ἀπόστολοι καὶ οἱ ἀδελ
φοὶ τοῦ κυ καὶ κηφᾶς· ἢ μό
νος ἐγὼ καὶ βαρναβᾶς οὐκ
ἔχομεν ἐξουσίαν τοῦ
μὴ ἐργάζεσθαι: τουτέστι
[illegible]
[illegible] ἀπόστολος
εἰμί· [illegible]
τα γὰρ τὰ τοῦ ἀποστόλου [illegible]
[illegible] καταμα
ζον [illegible]
[illegible]
καὶ τὸ [illegible]
[illegible]
[illegible]
τρυφᾶν [illegible]
ρπε [illegible]: τίς στρατεύ

εται ἰδίοις ὀψωνίοις ποτέ·
τίς φυτεύει ἀμπελῶνα καὶ
ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει·
ἢ τίς ποιμαίνει ποίμνην καὶ
ἐκ τοῦ γάλακτος τῆς ποίμνης
οὐκ ἐσθίει: ἐντεῦθεν ὁ [illegible]
[illegible] ἰσχυρότατον [illegible] ἀπο
[illegible]
τοῦτο ποιεῖ [illegible] παραδεί
γματα [illegible]
[illegible]
τούτων [illegible] τὸν λόγον
ρπϛ ἰσχυροποιῶν: μὴ κατὰ
ἄνον ταῦτα λαλῶ· ἢ οὐχὶ
καὶ ὁ νόμος ταῦτα λέγει·
ἐν γὰρ τῷ μωϋσέως νόμῳ
γέγραπται· οὐ φιμώσεις
βοῦν ἀλοῶντα· μὴ τῶν
βοῶν μέλει τῷ θῷ· ἢ δι'
ἡμᾶς πάντως λέγει· δι' ἡ
μᾶς γὰρ ἐγράφη: μὴ
[illegible] παρα
δείγματα [illegible] ἰσχυρίζομαι:
ρπζ ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀ
ροτριῶν ἀροτριᾶν· καὶ ὁ ἀ
λοῶν τῆς ἐλπίδος αὐτοῦ
μετέχειν ἐπ' ἐλπίδι· εἰ
ἡμεῖς ὑμῖν τὰ πνικὰ
κατεσπείραμεν μέγα· εἰ
ἡμεῖς ὑμῶν τὰ σαρκικὰ
θερίσομεν· εἰ ἄλλοι τῆς
ἐξουσίας ὑμῶν μετέχου
σιν· οὐ μᾶλλον ἡμεῖς;
[illegible]:~

δευτερονομίου

σκανδαλίζει τὸν ἀδελ
φόν μου, οὐ μὴ φάγω κρέα
εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν
ἀδελφόν μου σκανδαλί
σω· τοῦτο ἀρίστου δι
δασκάλου τὸ δι' ἑαυτοῦ παι
δεύειν ἅπερ λέγει. Καὶ
οὐκ εἶπεν, εἴτε δικαίως εἴτε
ἀδίκως· ἀλλὰ πάντως οἷον·
ρπβ οὐκ εἰμὶ ἐλεύθερος; οὐκ εἰ
μὶ ἀπόστολος; ἵνα μὴ
τις λέγῃ, καὶ μὴν ὡς ἀξιοπί
στως διὰ τῶν ἔργων τί
μιος καταφρονήσας· ὑ
πὲρ τοῦ μὴ σκανδαλίσαι
τὸν ἀδελφόν· διὰ τοῦτο
ἀναγκάζεται νῦν καὶ
ἀπόδειξιν τούτων ἐνεγκεῖν
ὁ δὲ μόνος οὗτος αὐτός· τί
χρὴ λέγειν περὶ τῶν εἰδω
λοθύτων φησίν· τοῦ γὰρ
Χριστοῦ ταξαμένου τοῖς
τὸ εὐαγγέλιον κηρύσσον
τας ἐκ τῶν μαθητευο
μένων ζῆν, ἐγὼ τοῦτο
οὐκ ἐποίησα· ἀλλ' εἱλόμην
λιμῷ μᾶλλον καταλῦσαι
τὸν βίον, κινδυνεῦσαι τῇ πα
ρὰ τῶν κατηχουμένων
οὐκ ἐδεήθην λαμβάνειν ε
σθίειν ἔμμισθον. ἀλλ' ὡς δεῖ
οἰκοδομεῖσθαι αὐτοῖς κι
νουμένων. Καὶ ἵνα μή τις

λέγῃ· ὅτι εἰ καὶ μὴ ἔβρωκεν
ἐπειδὴ μὴ ἔξεστιν αὐτῷ· οὐκ ἔβρω
κεν· διὰ τοῦτο πρῶ
τον τίθησι τὰς αἰτίας
δι' ἃς εὐλόγως ἂν ἔβρωκεν
ὑπὲρ [illegible] οὐ μόνον ἐξῆν·
εἶτα εἰ καὶ μὴ δόξῃ τοῖς πε
ρὶ παρόντι διαφέρον ταῦ
τα λέγειν· καὶ γὰρ εὐλαβ
ούμενοι ἐκεῖνοι πρότερον
διὰ κινδύνου ὅτι ζῆν ἐκεί
νοις λαμβάνειν· εἶτα
[illegible] ἵνα μή τις εἴπῃ
ὅτι παρ' ὧν μὲν ζῆν, σοὶ
δὲ οὐκ ἔξεστιν· πρὸ πάντων
μετὰ τὸν ἀκροατὴν τοῖς
ἐκείνοις τοῖς περὶ ταῦ
τα, διὰ ἀνάγκην τοῦτο
ρπγ ποιῶν· οὐχὶ Ἰησοῦν Χριστὸν
τὸν κύριον ἡμῶν ἑώρακα;
οὐ τὸ ἔργον μου ὑμεῖς
ἐστε ἐν κυρίῳ; εἰ ἄλλοις
οὐκ εἰμὶ ἀπόστολος,
ἀλλά γε ὑμῖν εἰμι·
ἵνα μή τις ὑπολάβῃ
ἀλλ' ἄλλους ἀπεστάλθαι
τὸν μὲν Χριστὸν ἑωρακέναι, οὐ
μικρὸν γὰρ καὶ τοῦτο ἀξίωμα
μαθεῖν· κατ' αὐτὸ λέγεται
πολλοὶ προφῆται καὶ
δίκαιοι ἐπεθύμησαν ἰδεῖν
ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδον.
ἔστησεν· οὐχὶ καὶ τὸν κύριον ἡμῶν

προθυμίας. καὶ χρῆμα τὸ
ρϛγ πρᾶγμα καλῶς:· Ἐὰν γὰρ
εὐαγγελίζωμαι οὐκ ἔστιν
μοι καύχημα· ἀνάγκη γάρ
μοι ἐπίκειται· οὐαὶ δέ μοι
ἐστιν ἐὰν μὴ εὐαγγελίζω
μαι:· τοῦτό φησιν οὐ
χ ὡς μείζονος ὄντος τοῦ καυ
χήσασθαι· τὸ ἀδαπά
νως θέσθαι τὸ εὐαγγέλιον. ἀλ
λ' ὡς ἑτέρων ἐχόντων τὸ
πλέον· οἷον· ὅτι τὸ μὲν ἐπι
ταγμα· τὸ δὲ τῆς ἐμῆς
προαιρέσεως κατόρθωμα.
ὃ μὲν γὰρ ὑπὲρ τὴν ἐντο
λὴν γίνεται, πολὺν ἔχει μι
σθόν· ὃ δὲ ἐντολῆς τάξει
οὐ τοσοῦτον· ὥστε κατὰ τοῦ
το φησὶν τὸ μὴ λαμβάνειν,
τοῦ εὐαγγελίζεσθαι πλέον εἶ
ναι. οὐ κατὰ τὴν τοῦ πρά
γματος φύσιν· τί γὰρ
τοῦ κηρύξαι ἴσον· ὃ καὶ πρὸς
τοὺς ἀγγέλους ἡμᾶς ἁμιλ
λᾶσθαι ποιεῖ· ἀλλ' ὅμως
ἐπειδὴ τὸ μὲν ἐπίταγμα
ἐστὶ καὶ ὀφειλή· τὸ δὲ προαι
ρέσεως φιλοτιμία· κατὰ
τοῦτο αὐτὸ τὸ μὴ λαμβάνειν
πλέον ἐστὶ τοῦ κηρύγματος:·
ρϛδ Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω
μισθὸν ἔχω· εἰ δὲ ἄκων
οἰκονομίαν πεπίστευμαι.
τίς οὖν μοι ἐστὶν ὁ μισθός·
ἵνα εὐαγγελιζόμενος ἀδά
πανον θήσω τὸ εὐαγγέλιον
τοῦ Χριστοῦ εἰς τὸ μὴ καταχρήσα
σθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ
εὐαγγελίῳ:· τὸ δίκαιον
καὶ ἄξιον ἐστὶ τοῦ ἐκείνους χρῆσθαι
καὶ μὴ ἀποχρῆσθαι λαμβά
νειν· οὕτω καὶ τὸ ἀφ' ἡμῶν μοι ἐπι
κεῖται μαθητῶν· οὐχ ὡς ἀδίκως
τοῦ τοῦτο ποιοῦντος. ἀλλ' ὡς
ἐπαχθῶν ὄντος τοῖς ἐπιτα
χθεῖσιν· διὸ οὐκ ἔστι παρὰ τὸ δί
καιον. οὐκ ἔχω μισθόν. ἀλλ' οἰκο
νομίαν πεπίστευμαι· δηλονότι
καὶ οὗτος ἔχει μισθόν.
ἀλλ' οὐ τοιοῦτον. οἷον ὁ τὸ ἐπί
ταγμα ἐξανύσας, οὐχ οἷον
ἐκεῖνος ὁ ἐκ τῶν ἑαυτοῦ φιλο
τιμησάμενος. καὶ ὑπερβὰς
τὸ ἐπίταγμα:·
ρϛε Ἐλεύθερος γὰρ ὢν ἐκ πάν
των. πᾶσιν ἐμαυτὸν ἐδού
λωσα, ἵνα τοὺς πλείονας
κερδήσω:· πάλιν μεί
ζονα τίθησιν ὑπερβολήν·
μέγα μὲν γὰρ καὶ τὸ μὴ λα
βεῖν. τοῦτο δὲ πολὺ μεῖζον
ἐκείνου. τί δέ ἐστιν ὅ φησιν
ὅτι οὐ μόνον οὐκ ἔλαβον. οὐ
δὲ ἐχρησάμην τῇ ἐξουσίᾳ.
ἀλλὰ καὶ ἐδούλωσα ἐμαυτὸν
καὶ δουλείαν παμμεγάλην καὶ
παντοδαπήν· καὶ δουλ
ωσάμενος τοῖς οὐδὲν

ρπη ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐ
ξουσίᾳ ταύτῃ· ἀλλὰ πάν
τα στέγομεν, ἵνα μὴ ἐγ
κοπήν τινα δῶμεν τῷ
εὐαγγελίῳ τοῦ χ(ριστο)ῦ: τοῦ
καιροῦ ἐκβιαζομένου:
ρπθ οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργα
ζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθί
ουσιν: ἀπὸ τοῦ νόμου
τὸ ἔχειν ἐξουσίαν λαμβάνειν
μισθὸν ἀποδεξάμενος. μετα
φέρει τὸν λόγον καὶ ἐπὶ τὸ εὐαγγέ
λιον καὶ δείκνυσι τοῦτο αὐτὸ ἰ
σχυροποιῶν. ὥσπερ δὲ τὸ μὴ
ἐπὶ μὲν ἐκείνων προσφέρον
τας λαμβάνουσιν. ἀλλ' ἐκ
τοῦ ἱεροῦ ἐσθίουσιν. ἵνα
μήτε οἱ λαμβάνοντες ὀνει
δίζωνται. μήτε οἱ παρέ
χοντες ἐπαίρωνται:·
ρϙ οἱ τῷ θυσιαστηρίῳ προσε
δρεύοντες, τῷ θυσιαστη
ρίῳ συμμερίζονται· οὕ
τω καὶ ὁ κ(ύριο)ς διέταξεν τοῖς
τὸ εὐαγγέλιον καταγ
γέλλουσιν, ἐκ τοῦ εὐαγ
γελίου ζῆν: τὰ γὰρ
προσενεχθέντα οὐ καὶ μό
νων τῶν προσεδρευόν
των ἦσαν, ἀλλὰ τοῦ ἱε
ροῦ καὶ τοῦ θυσιαστηρίου·
τὸ δὲ συμμερίζονται, οὐ
τὴν ἐξ ἴσου διανομὴν δη
λοῖ, ἀλλὰ τὴν ἐξ ὀφειλῆς

διδομένην αὐτοῖς παραμυ
ρϙα θίαν:· ἐγὼ δὲ οὐδενὶ
ἐχρησάμην τούτων· οὐ
κ ἔγραψα δὲ ταῦτα ἵνα οὕ
τως γένηται ἐν ἐμοί:
ὁμοίως ὡς ἔλεγον· πολλῶν
μοι παραδειγμάτων πα
ρόντων ἐξουσίαν· τοῦ
στρατιώτου· τοῦ γεωργοῦ
τοῦ ποιμένος· τῶν ἀπο
στόλων· τοῦ νόμου· τῶν
παρ' ἡμῖν τοῖς ἱερεῦσι γενο
μένων· τῶν παρ' Ἕλλησι
τοῖς ἄλλοις· τῶν ἱερῶν·
τοῦ προστάγματος Χ(ριστο)ῦ· οὐ
δεμίαν τούτων ἀπεδεξάμην
ἐπὶ τὸ καταλῦσαι τὸν θεσμὸν
τοῦ νόμου καὶ λαβεῖν:
ρϙβ καλὸν γάρ μοι μᾶλλον ἀπο
θανεῖν, ἢ τὸ καύχημά
μου ἵνα τις κενώσει:
αἱροῦμαι μᾶλλον φησὶν ἀπο
θανεῖν λιμῷ. ἢ τούτων
ἀποστερηθῆναι τῶν
στεφάνων. οὐ δὲ ἐστὶ τὸ καύ
χημα ἐπάγει. καὶ μὴ τὸν
σκοπόν. ἢ τὸ δόξαν καλόν.
ἵνα γὰρ μή τις λέγῃ. ὅτι
ποιεῖ μὲν αὐτὰ οὐ χαίρων
δὲ, ἀλλ' αἰσθόμενος καὶ ὀδυνώ
μενος. τούτου χάριν τὴν
ὑπερβολὴν τῆς χαρᾶς δεῖ
ξαι θέλων. καὶ τὸ μέγεθος τῆς

ταῖς μὲν ἐλυτῶν τοῖς εὐνοοῦν-
των. οὕτω καὶ ἐνταῦθα·
συγκοινωνὸς γένωμαι τοῦ
εὐαγγελίου λέγει· ἵνα δείξῃ
θέλων συγκοινωνῆσαι τοῖς
ἐπὶ τοῦ εὐαγγελίου πεπιστευ-
κόσιν. τοῦτο δὲ ἔστι ταπει-
νοφροσύνης μεγάλης ἐπι-
δεῖξιν ἔχον· ἐν μέρει γὰρ τῶν
πολλῶν ἑαυτὸν τίθησιν
παρ' αὐτῶν τῶν ἄθλων ἰσαμοιρῶν:
ϲβ ΟΥΚ ΟΙΔΑΤΕ ΟΤΙ ΟΙ ΕΝ ϹΤΑΔΙΩ
ΤΡΕΧΟΝΤΕϹ· ΠΑΝΤΕϹ ΜΕΝ
ΤΡΕΧΟΥϹΙΝ· ΕΙϹ ΔΕ ΛΑΜ-
ΒΑΝΕΙ ΤΟ ΒΡΑΒΕΙΟΝ· ΟΥΤΩϹ
ΤΡΕΧΕΤΕ ΙΝΑ ΚΑΤΑΛΑΒΗΤΕ:
δείξας ὅτι πολὺ χρήσιμον
τὸ συγκαταβαίνειν· καὶ τοῦ-
το ἡ ἄκρα τελειότης τῶν
ἐντολῶν τὸν ὅρον παραβαίνει αὐ-
τῶν καθυπερβαίνει· ἀλλὰ μὴ
νομίζοι τις ὅτι τοῦτο τὸ
παρ' αὐτῶν γινόμενόν ἐστι
διὰ κοινωνῆσαι τελειότης
καὶ ταπεινοφροσύνης περι-
ττή· ἀλλ' οὐ λέγει οὕτω σα-
φῶς ἵνα μὴ [illegible]
τας· διὰ τῶν μηδὲ κατα-
σκευάζει τοῦτο δηλοῖ·
τὸ δὲ λέγειν ὅσα ἐκ τῶν ἀρτίως
[illegible] τὸ οὐράνιον
οὐχ ὡς ἐμοῦ μέλλοντος σώ-
ζεσθαι μόνου. ἀλλ' ὡς [illegible]

μὴ ὀφειλομένων ἐκείνων ἐστὶ
μεγίστης τῆς σπουδῆς·
ὥσπερ γὰρ ἐκεῖ πολλῶν
καθιέντων ἐς τὸ στάδιον
οὐ στεφανοῦνται πολλοί·
ἀλλ' εἷς ἐν μόνῳ τοῦτο περιίστα-
ται. καὶ οὐκ ἀρκεῖ τὸ κα-
θεῖναι ἐς τὸν ἀγῶνα. οὐδὲ
τὸ ἀλείψασθαι καὶ παλαῖσαι·
οὕτω καὶ ἐνταῦθα. οὐκ ἀρ-
κεῖ τὸ πιστεῦσαι καὶ ὡς ἔτυχεν
ἀγωνίσασθαι. ἀλλ' ἐὰν μὴ
οὕτω δράμωμεν ὥστε με-
χρι τοῦ τέλους ἀνεπιλήπτους
ἑαυτοὺς παρασχεῖν καὶ ἐγγὺς
γενέσθαι τοῦ βραβείου
οὐδὲν ἡμῖν ἔσται πλέον·
καὶ γὰρ καὶ τὸν νομίζοντα
εἶναι ἑαυτὸν κατὰ τὴν
γνῶσιν. ἀλλ' οὕτω τοῦ παν-
τὸς ἐκπεπτωκότα· οὕτω παρὰ τὴν
γινόμενος ἔλεγεν· τρέχετε
ἵνα καταλάβητε:
ϲγ ΠΑϹ ΔΕ Ο ΑΓΩΝΙΖΟΜΕΝΟϹ
ΠΑΝΤΑ ΕΓΚΡΑΤΕΥΕΤΑΙ·
ΕΚΕΙΝΟΙ ΜΕΝ ΟΥΝ ΙΝΑ ΦΘΑΡ-
ΤΟΝ ϹΤΕΦΑΝΟΝ ΛΑΒΩϹΙΝ
ΗΜΕΙϹ ΔΕ ΑΦΘΑΡΤΟΝ:
τί ἐστι πάντα· οὐχὶ τοῦ
δεῖν ἀπέχεσθαι. ἀλλὰ τὸ δὲ
διαμαρτάνειν· ἀλλὰ καὶ
γαστριμαργίας καὶ μέθης καὶ
πάντων τῶν παθῶν κρατεῖν τῶν

ν καὶ τὸ οὐδὲν· οὐδὲ ἀναγκαῖον
ἔχων· τοῦτο γάρ ἐστι τὸ
ἐλεύθερος ὢν ἐκ πάντων.
Καὶ γὰρ κηρύξαι μό-
νον ἐπετάγη καὶ κατα-
γγέλλειν τοῖς ἀνθρώποις τὰ δοθέν-
τα· τὸ δὲ μυρία μηχανή-
σασθαι καὶ ἐπινοῆσαι, λοιπὸν
τῆς ἐμῆς γνώμης σπουδῆς ἦν:
ρϟϛ Καὶ ἐγενόμην τοῖς Ἰουδαί-
οις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαί-
ους κερδήσω: Καὶ
προσάγων ἐπὶ τὸ περιτε-
μεῖν Τιμόθεον· ἵνα καὶ
θεραπεύσῃ περιτομήν· διὰ
τοῦτο οὖν καθάπερ Ἰουδαῖος,
ἀλλ' ὡς Ἰουδαῖος. Οἰκονο-
μία γὰρ τὸ πρᾶγμα ἦν:
ρϟζ Τοῖς ὑπὸ νόμον ὡς ὑπὸ
νόμον, ἵνα τοὺς ὑπὸ
νόμον κερδήσω:
Ὅτε ἐξυρᾶτο, ὅτε ἔθυεν,
ἐπετέλει δὲ ταῦτα· οὐ κο-
γνώμην αὐτῶν μεταλα-
λομένην· ἀλλὰ τὴν ἀ-
γνοίαν συγκαταβαί-
ρϟη νουσιν: Τοῖς ἀνό-
μοις ὡς ἄνομος, μὴ
ὢν ἄνομος θεῷ, ἀλλ' ἔν-
νομος Χριστῷ: Οἱ ἄνομοι
οὔτε Ἰουδαῖοι ἦσαν· οὔτε
Ἕλληνες, ἀλλ' ἔξω τοῦ νό-
μου ζῶντες. Οἷος ἦν Κορ-
νήλιος. Καὶ ὁ μὲν [illegible] δὲ κ
Καὶ γὰρ πρὸς Ἕλληνας ἔφη-
σαν· πολλαὶ ὑπεκρίνετο
τῶν ἐκείνων· τὴν μὲν δὲ
φασίν· καὶ τὴν ἀπὸ τοῦ
ἐπιγράμματος τοῦ βωμοῦ
κοινωνῶν διάλεξιν αὐτοῖς γε-
νομένην πρὸς Ἀθηναί-
ους αἰνίττεται καὶ λέγει
τοῖς ἀνόμοις ὡς ἄνομος.
Καὶ ἵνα μή τις νομίσῃ κατὰ
γνώμην εἶναι τὸ πρᾶγμα,
ἐπήγαγεν· μὴ ὢν ἄνομος
θεῷ, ἀλλ' ἔννομος Χριστῷ:
ρϟθ Ἵνα κερδήσω ἀνόμους.
Ἐγενόμην τοῖς ἀσθενέσιν
ὡς ἀσθενής, ἵνα τοὺς ἀσθε-
νεῖς κερδήσω: Τὴν αἰ-
τίαν τῆς συγκαταβάσε-
σ ως λέγει: Τοῖς πᾶσιν
γέγονα τὰ πάντα, ἵνα
πάντως τινὰς σώσω:
Ἵνα μὴ καθ' ἕκαστον λέγων
διατρίβῃ, τῷ γενικῷ χρῆ-
σα ται ὀνόματι: Τοῦτο δὲ
ποιῶ διὰ τὸ εὐαγγέλιον,
ἵνα συγκοινωνὸς αὐτοῦ
γένωμαι: Τοῦτ' ἔστιν
ἵνα δόξω τι κἀγὼ συνεισφέ-
ρειν μόχθον καὶ οἴκοθεν,
μετασχῶ τῶν ἀποκειμέ-
νων στεφάνων τοῖς πι-
στοῖς. ὥσπερ γὰρ ἐλάττω
ἐκ τοῦ εὐαγγελίου ζῆν, του

τοῦ βαπτίσματος τυχεῖν. καὶ
μυστηρίων πνευματικῶν ἀπολαῦ-
σαι. ὡς μὴ νομίζοιεν ἄξιον τῆς
χάριτος ἐπιδείκνυσθαι βίον.
διὸ καὶ τοῦ βαπτίσματος καὶ
τῶν μυστηρίων παράγει τοὺς
τύπους. τί δέ ἐστιν τὸ εἰς τὸν
Μωϋσῆν ἐβαπτίσθησαν·
καθάπερ ἡμεῖς τῷ Χριστῷ πι-
στεύσαντες. καὶ τῇ ἀναστάσει
αὐτοῦ βαπτιζόμεθα. ὡς καὶ
αὐτοὶ τῶν αὐτῶν κοινωνή-
σαντες. βαπτιζόμεθα γὰρ
ὑπὲρ τῶν νεκρῶν, τουτέστι
σωμάτων. οὕτω καὶ ἐκεῖνοι
θαρσήσαντες τῷ Μωϋσῇ.
τουτέστιν ἰδόντες αὐτὸν δια-
βάντα πρῶτον. κατετόλ-
μησαν καὶ αὐτοὶ τῶν ὑδά-
των. ἀλλ' ἐπειδὴ βούλεται
τὸν τύπον ἐγγὺς τῆς ἀλη-
θείας ἀγαγεῖν, οὐ λέγει οὕτως·
ἀλλὰ τοῖς τῆς ἀληθείας ὀ-
νόμασι κέχρηται καὶ ἐπὶ τοῦ
τύπου. Καὶ τοῦτο μὲν, τὸ λου-
τροῦ σύμβολον· τὰ δὲ μετὰ
ταῦτα τῆς ἱερᾶς τραπέ-
ζης. καθάπερ γὰρ ἡμεῖς CΘ
τὸ σῶμα ἐσθίομεν τὸ δεσπο-
τικόν. οὕτω καὶ ἐκεῖνοι τὸ μάν-
να. καὶ ὥσπερ ἡμεῖς τὸ αἷμα
πίνομεν τὸ δεσποτικόν. οὕ-
τω καὶ ἐκεῖνοι ὕδωρ ἐκ πέτρας.
εἰ γὰρ καὶ αἰσθητὰ ἦν τὰ
διδόμενα, ἀλλὰ πνευματικῶς πα-
ρείχετο. οὐ κατὰ φύσεως ἀ-
κολουθίαν, ἀλλὰ κατὰ δω-
ρεᾶς χάριν. καὶ μετὰ τοῦ
σώματος καὶ τὴν ψυχὴν
ἀνέτρεφεν, εἰς πίστιν ἐνάγοντα·
διὰ τοῦτο περὶ μὲν τῆς τρο-
φῆς οὐδὲν εἶπεν, ἐξηλλαγμέ-
νη γὰρ ἦν. ἐπὶ δὲ τοῦ ποτοῦ
ἐπειδὴ ὁ τρόπος τῆς χορη-
γίας μόνος ἦν ὁ παράδο-
ξος. καὶ κατασκευῆς ἐδεή-
θη. διὸ εἰπὼν ὅτι τὸ αὐτὸ ἔπι-
ον πόμα πνευματικὸν ἐπήγαγεν·
ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκο-
λουθούσης πέτρας. ἡ δὲ
πέτρα ἦν ὁ Χριστός. οὐ γὰρ ἡ
τῆς πέτρας φύσις τὸ ὕδωρ
ἠφίει. ἦ γὰρ ἂν καὶ πρὸ τού-
του ἀνέβλυσεν. ἀλλ' ἑτέρα
τις πέτρα πνευματικὴ, τὸ πᾶν
εἰργάζετο. τουτέστιν ὁ Χριστός·
ὁ παρὼν καὶ πανταχοῦ θαυ-
ματουργῶν. διὰ γὰρ τοῦτο
εἶπεν ἀκολουθούσης:~
ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν
αὐτῶν εὐδόκησεν ὁ θεός:
καὶ μὴν πάντες ἀπολαύοντο·
ἀλλ' ἵνα μὴ δόξῃ καὶ τούτοις
παραλειφθεὶς ἂν προφητικῶν
διὰ τοῦτο εἶπεν ὅτι πλειόνων

παθῶν· ἡ δὲ ἐκεῖ παραίτη-
ὁ ποὺς ... ὁ στέφανος
πολλῷ μᾶλλον ἐνταῦθα ὁ
που καὶ ... ἡ φιλοτιμία

CΔ ἐγὼ τοίνυν οὕτως τρέχω·
ὡς οὐκ ἀδήλως: ἐντρέ-
πας αὐτοὺς ἀπὸ τῶν ἔξωθεν
καὶ ἑαυτὸν ... μέσον ἄγει-
τον· τί δέ ἐστι τὸ οὐκ ἀδή-
λως· πρὸς σκοπόν τινα
... βλέπων, οὐχ ὡς ἔτυχε καὶ
μάτην καθάπερ ὑμεῖς·
τί γὰρ ὑμῖν γίνεται πλέον ἀ-
πὸ τοῦ εἰς ... εἰσιέναι
καὶ τὴν τελειότητα δῆ-
θεν ἐπιδείκνυσθαι· οὐδέν·
ἀλλ᾿ οὐκ ἐγὼ τοιοῦτος· ἀλλὰ
πάντα ἅπερ ποιῶ, ὑπὲρ
τῆς τῶν πλησίον ἀγαθο-
ποιΐας καὶ σωτηρίας· κἂν
γὰρ τελειότητα ... ἐξαρκ...
... αὐτοῖς· κἂν συγκαταβαί-
νω δι᾿ αὐτούς: οὕτως

CE πυκτεύω· ὡς οὐκ ἀέρα δέ-
ρων: πάλιν τὸ ...
... αἰνιττόμενος τοῦ-

CS το φησίν: ἀλλ᾿ ὑποπιά-
ζω μου τὸ σῶμα καὶ δουλα-
γωγῶ: ἐνταῦθα δὲ
... καὶ ὑπὸ ... τῆς
γαστρὸς κατεχομένους
καὶ προσχήματι τελειότη-
τος τὴν γαστριμαργίαν

πληροῦντας τὴν ἑαυτῶν:·

CZ μήπως ἄλλοις κηρύξας αὐ-
τὸς ἀδόκιμος γένωμαι:
μὴ γὰρ δὴ νομίσητε φησὶν
ὅτι ... ἀρκεῖ
τοῦτο εἰς σωτηρίαν ὑμῖν·
εἰ γὰρ ἐμοὶ τὸ κηρύξαι καὶ δι-
δάξαι μυρίους οὐκ ἀρκεῖ πρὸς
σωτηρίαν, πολλῷ μᾶλλον

CH ὑμῖν: οὐ θέλω δὲ ὑμᾶς
ἀγνοεῖν ἀδελφοί· ὅτι οἱ πα-
τέρες ἡμῶν πάντες ὑπὸ
τὴν νεφέλην ἦσαν· καὶ
πάντες διὰ τῆς θαλάσσης
διῆλθον· καὶ πάντες εἰς τὸν
μωϋσῆν ἐβαπτίσαντο ἐν
τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσ-
σῃ· καὶ πάντες τὸ αὐτὸ βρῶ-
μα πνευματικὸν ἔφαγον· καὶ
πάντες τὸ αὐτὸ πόμα πνευματι-
κὸν ἔπιον· ἔπινον γὰρ ἐκ
πνευματικῆς ἀκολουθούσης πέ-
τρας· ἡ δὲ πέτρα ἦν ὁ χ(ριστό)ς:·
πάλιν ἐπὶ τὰς παλαιὰς
πρόεισιν ἱστορίας· τὸ δὲ οὖν
θεῖον ἡμᾶς ... δεικνύων
τοσαύτην ... σφόδρα ...
ταῦτα ... τι-
μωρίας ... ὑπόδειγμα
τιθείς ... ὅτι
οἱ ... ἐκεῖνοι
τοσαύτης ἀπολαύσαντες
δωρεᾶς· οὕτως οὐδὲ αὐτοῖς

σιε
τω μὴ πέσῃ: ὥστε τὸν
τῦφον καθαιρεῖν τοὺς δοκίμους
ἐστὶ καταφρονοῦντας· καὶ
ἐπεὶ ὁ μὲν ὁ δοκῶν ἑστάναι δη-
λῶν ὡς οὐδέπω ἑστάναι· τοῦ-
τό ἐστιν τὸ θαρρεῖν ἔφθασε αὐ-
τούς. ταχέως γὰρ ὁ τοιοῦ-
τος πεσεῖται:· πειρασμὸς
σιϛ ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀν-
θρώπινος· πιστὸς δὲ ὁ θ(εὸ)ς
ὃς οὐκ ἐάσει ὑμᾶς πειρα-
σθῆναι ὑπὲρ ὃ δύνασθε
ἀλλὰ ποιήσει σὺν τῷ πειρα-
σμῷ καὶ τὴν ἔκβασιν τοῦ
δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.
διόπερ ἀγαπητοί μου. φεύ-
γετε ἀπὸ τῆς εἰδωλολατρεί-
ας: τουτέστι μικρὸς
καὶ βραχὺς καὶ σύμμετρος
τὸ γὰρ ἀνθρώπινος. τὸ
μικρὸν σημαίνει· ὥσπερ ὅταν
λέγῃ· ἀνθρώπινον λέγω
διὰ τὴν ἀσθένειαν τῆς
σαρκὸς ὑμῶν· μὴ τοίνυν
καταφρονεῖτε φησὶν ὡς
ἐρρυμμένοι:·
σιζ ὡς φρονίμοις λέγω· κρίνα-
τε ὑμεῖς ὅ φημι: ἐπει-
δὴ μέγα ἐφθέγξατο· καὶ
τὴν κατηγορίαν ηὔξη-
σεν· εἰδωλολατρείαν αὐ-
τῶν. ἵνα μὴ δόξῃ τραχὺ
εἶναι αὐτοῖς καὶ φορτικὸν

ποιεῖν τὸν λόγον αὐτοῖς·
μόνοις καθίστησι τὴν κρί-
σιν. καὶ μετ' ἐγκωμίου κα-
θίστησι τοὺς δικάζοντας λέ-
γων· ὡς φρονίμοις ὑμῖν λέ-
σιη γω: τὸ ποτήριον τῆς
εὐλογίας ὃ εὐλογοῦμεν:
εὐλογίαν φησὶ τὴν
εὐχαριστίαν λέγει· εὐχα-
ριστοῦντες δὲ λέγομεν· πάντα
ἀναπτύσσομεν τὸν τῆς εὐερ-
γεσίας τοῦ θ(εο)ῦ θησαυρὸν
καὶ τὰς μεγάλας ἐκείνας
μνημονεύοντες δωρεάς· ὅτι ἐλ-
πίδα μὴ ἔχοντας. καὶ ἀ-
θέους ὄντας ἐν τῷ κόσμῳ
ἀδελφοὺς ἑαυτοῦ κατεσκεύ-
ασεν. καὶ συγκληρονόμους:·
σιθ οὐχὶ κοινωνία τοῦ αἵμα-
τος τοῦ χ(ριστο)ῦ ἐστιν: τὸ
ἐν τῷ ποτηρίῳ φησίν. ἐ-
κεῖνό ἐστιν τὸ ἀπὸ τῆς πλευ-
ρᾶς ῥεῦσαν. καὶ ἐκείνου
μετέχομεν: τὸν ἄρτον
σκ ὃν κλῶμεν οὐχὶ κοινωνία
τοῦ σώματος τοῦ χ(ριστο)ῦ ἐστιν:
διατί μὴ εἶπε μετοχή· ὅ-
τι πλέον τι ἐμφανίσαι ἠ-
βουλήθη. καὶ πολλὴν ἐν-
δείξασθαι τὴν συνάφειαν·
οὐ γὰρ τὸ μετέχειν μόνον καὶ
μεταλαμβάνειν. ἀλλὰ καὶ
τὸ ἑνοῦσθαι κοινωνοῦμεν·

ἐπεὶ δὲ τοῖς περιγενομένοις λόγοις αὐτοῖς οἱ πολλοὶ ὡς μὴ παροῦσι· μηδὲ θαρρεῖν μονομένοις αὐτοῖς τοῖς ἤδη γεγενημένοις. δείκνυσιν ὅτι ἐκόλασεν τοὺς ἁμαρτάνοντας ὁ θεὸς· καίπερ μυρίας εὐεργεσίας ἀξιώσας:

κατεστρώ

CI θησαν γὰρ ἐν τῇ ἐρήμῳ:

τὴν ἀπώλειαν αὐτῶν σημαίνων καὶ τὰς τιμωρίας:

CIΑ ταῦτα δὲ τύποι ἡμῶν ἐγεννήθησαν. εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν· καθὼς κἀκεῖνοι ἐπεθύμησαν· μηδὲ εἰδωλολάτραι γίνεσθε καθὼς τινὲς αὐτῶν ὥσπερ γέγραπται:

ἵνα μὴ λέγωσιν. καὶ τί πρὸς ἡμᾶς; δείκνυσιν ὅτι καὶ αὐτοὶ τὸ γὰρ δι' ἡμᾶς ... ὥστε σωφρονεστέροις γενέσθαι τοῖς ὑποδείγμασιν ἐκείνοις:

CIΒ ἐκάθησεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν· μηδὲ πορνεύωμεν καθὼς τινὲς αὐτῶν ἐπόρνευσαν· καὶ ἔπεσαν ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες:

ὡς περιττὴ ἦν τρυφὴ ἡ ... αὐτοῖς ... οὕτω δὲ ... μὴ καὶ ἡμεῖς ...:

CIΓ μηδὲ ἐκπειράζωμεν τὸν χ(ριστὸ)ν· καθὼς καί τινες αὐτὸν ἐπείρασαν καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο· μηδὲ γογγύζετε καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν. καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· ταῦτα δὲ πάντα τυπικῶς συνέβαινεν ἐκείνοις ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν:

διὰ τοῦτο ... πρὸς τοὺς ... ὅτι ... καὶ τὸν πειρασμὸν ... γὰρ λέγοντες. ποῦ ... τὰ ἀγαθά ... τὰ ἔπαθλα· διὸ καὶ ... μηδὲ γογγύζωμεν· οὐδὲ γὰρ τοῦτο εἰ μὴ τὸ ζητοῦμεν τὸ παθεῖν ὑπὲρ χ(ριστο)ῦ· ἀλλ' ... πάντα παθεῖν ὑπὲρ χ(ριστο)ῦ:

CIΔ εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν:

... ταῦτα ... πρόσδοκίαν ... :

ὥστε ὁ δοκῶν ἑστάναι βλεπέ

CKB II

φησίν. ἃ γὰρ θύει τὰ ἔθνη
δαιμονίοις θύει καὶ οὐ θεῷ:
σκα' οὐ δύνασθε ποτήριον κυρίου πί-
νειν καὶ ποτήριον δαιμονί-
ων. οὐ δύνασθε τραπέζης
κυρίου μετέχειν καὶ τραπέ-
ζης δαιμονίων: χρησά-
μενος τῷ κατὰ παραίνεσιν
λόγῳ. χρῆται λοιπὸν καὶ τῷ
ἀποφαντικῷ καὶ αὐθεντικῷ
καὶ ἀρκεῖται τοῖς ὀνόμα-
σι μόνοις ἐπὶ τῶν ἀπαγορευμένων.
κυρίου ποτήριον καὶ δαιμονίων
ποτήριον λέγων: ἢ πα-
σκβ' ραζηλοῦμεν τὸν κύριον; μὴ
ἰσχυρότεροι αὐτοῦ ἐσμεν;
τουτέστιν πειράζομεν αὐ-
τὸν εἰ δύναται κολάσαι
ἡμᾶς. καὶ παροξύνο-
μεν αὐτὸν πρὸς τοὺς ἐναν-
τίους ὑποχωροῦντες.
τοῦτο δὲ εἶπεν ἀναμιμνή-
σκων αὐτοὺς παλαιᾶς
ἱστορίας. διὸ καὶ τῇ λέξει
ταύτῃ κέχρηται. ὡς καὶ
πρὸς τοὺς ἰουδαίους μωϋ-
σῆς ἐχρήσατο ἐγκαλῶν
ὑπὲρ τῆς εἰδωλολατρείας
ἐκείνους ὡς προσώπου τοῦ θεοῦ.
αὐτοὶ γάρ φησιν παρεζή-
λωσάν με ἐπ' οὐ θεῷ:
σκγ' πάντα μοι ἔξεστιν. ἀλλ' οὐ
πάντα συμφέρει. πάντα
μοι ἔξεστιν. ἀλλ' οὐ πάντα
οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυ-
τοῦ ζητείτω. ἀλλὰ τὸ τοῦ
ἑτέρου ἕκαστος:
ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς λέ-
γειν. ὅτι τέλειός εἰμι καὶ
κύριος ἐμαυτοῦ. καὶ οὐδέν
με βλάπτει ἀπογευόμενον
τῶν προκειμένων, τού-
του χάριν φησίν. ναὶ τέ-
λειος εἶ καὶ αὐτοῦ κύριος. ἀλ-
λὰ μὴ τοῦτο σκόπει. ἀλλ' εἰ
μὴ καὶ ἀπώλειαν ἔχει τὸ γινόμε-
νον καὶ καταστροφήν:
σκδ' πᾶν τὸ ἐν μακέλλῳ πω-
λούμενον ἐσθίετε μη-
δὲν ἀνακρίνοντες διὰ
τὴν συνείδησιν:
ἐπειδὴ εἶπεν ὅτι ἀδύνατον ποτή-
ριον κυρίου πίνειν καὶ ποτήρι-
ον δαιμονίων. καὶ καθά-
παξ ἀπῆγεν τῶν τραπε-
ζῶν ἐκείνων ἀπὸ παραδει-
γμάτων ἰουδαϊκῶν. ἀπὸ
λογισμῶν ἀνθρωπίνων. ἀ-
πὸ τῶν μυστηρίων τῶν φρι-
κτῶν. ἀπὸ τῶν ἐν τοῖς
δαιμονίοις τελουμένων. καὶ
πολὺν φόβον αὐτοῖς ἐνθείς.
ἵνα μὴ φόβος τούτων πάλιν
πλείονα ἢ αὐτοῖς ἀκρίβειαν
ἐξ ὧν θλιβῶσιν ἀναγκασθῶσι
περιεργάζεσθαι τοῦ δέοντος

καθάπερ τὸ σῶμα ἐκεῖνο
ἥνωται τῷ λόγῳ. οὕτως
ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου
τούτου ἑνούμεθα: ὅτι
ϲκα εἷς ἄρτος. ἓν σῶμα οἱ πολ-
λοί ἐσμεν· οἱ γὰρ πάντες
ἐκ τοῦ ἑνὸς ἄρτου μετέχο-
μεν: τί λέγω κοινωνίαν
φησίν· αὐτὸ ἐσμὲν ἐκεῖνο
τὸ σῶμα· ὁ γὰρ ἄρτος τί ἐστι· σῶ-
μα χυ. καὶ τί γίνονται οἱ μεταλαμβά-
νοντες. σῶμα χυ. οὐχὶ σώματα πολ-
λά, ἀλλὰ σῶμα ἕν. καὶ
καθάπερ ὁ ἄρτος ἐκ πολλῶν
συγκείμενος κόκκων, ἥ-
νωται ὡς μηδαμοῦ φαίνεσθαι
τοὺς κόκκους. ἀλλ' εἶναι
μὲν αὐτούς. ἄδηλον δὲ
αὐτῶν εἶναι τὴν διαφο-
ράν. τῇ συναφείᾳ· οὕτω
καὶ ἀλλήλοις καὶ τῷ χῷ συνα-
πτόμεθα. οὐδὲ γὰρ ἐξ ἄλλου
μὲν σώματος. ἐξ ἄλλου δὲ
ἄλλος τρέφεται. ἀλλ' ἐκ τοῦ
αὐτοῦ πάντες. διὸ φησίν·
οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς
ἄρτου μετέχομεν· εἰ δὲ
ἐκ τοῦ αὐτοῦ, καὶ τὸ αὐτὸ
γινόμεθα πάντες. διατί
μὴ καὶ τὴν αὐτὴν ἀγά-
πην ἐπιδεικνύμεθα. καὶ
γινόμεθα κατὰ τοῦτο ἕν:
ϲκβ βλέπετε τὸν ἰηλ κατὰ

σάρκα. οὐχὶ οἱ ἐσθίοντες τὰς
θυσίας κοινωνοὶ τοῦ θυσια-
στηρίου εἰσίν; τί οὖν φημί:
ἐπειδὴ πολλοὶ τοῦ μεγέθους
τῶν λεχθέντων ἦσαν ἀπιστό-
τεροι. ἀπὸ τῶν προτέρων
αὐτοὺς πείθει καὶ συνήθων.
καὶ καλῶς κατὰ σάρκα φη-
σίν. ὡς αὐτῶν κατὰ πνεῦμα ὄν-
των. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν.
κἂν ἀπὸ τῶν παχυτέρων
ϲκγ παιδεύθητε: ὅτι εἴδω-
λόν τί ἐστιν. ἢ ὅτι εἰδωλό-
θυτόν τί ἐστιν. ἀλλ' ὅτι ἃ
θύει τὰ ἔθνη, δαιμονίοις
θύει καὶ οὐ θεῷ. οὐ θέλω δὲ
ὑμᾶς κοινωνοὺς τῶν δαι-
μονίων γίνεσθαι: εἰπὼν
ὅτι κοινωνοὶ τοῦ θυσιαστηρίου
εἰσίν. ἐπειδὴ ἔδοξε μὴ δόξῃ. ὡς
αὐτῶν ἰσχὺν ἐχόντων τῶν εἰδώ-
λων. διαλύεσθαι καὶ δεικνύ-
μενος ὄντι κρατεῖ. ὁρᾷ πῶς
αὐτὰ καθαιρεῖ μονονουχὶ λέ-
γων· ταῦτα λέγω φησὶν·
ἀπάγων. οὐχ ὡς δυναμέ-
νων κρατεῖν τι τῶν εἰδώλων
καὶ ἰσχὺν ἐχόντων. οὐδὲν γάρ
ἐστιν. ἀλλὰ βούλομαι κατα-
φρονεῖν αὐτῶν ὑμᾶς. καὶ τούτου
χάριν μετὰ ἀπὸ τοῦ ἀποτρέ-
πω τῶν τοιούτων μιασμά-
των. ὅτι οὖν προσάγεται θεῷ δὲ

ϲκβ ιτ

δουλείας. ὃ δὲ λέγει τοιοῦτόν
ἐστιν. ἐλεύθερον μὲν ποιεῖ
ἡ [illegible] θεοῦ καὶ πάσης ὑπο-
[illegible] ἀνώτερον. ἀλλ' οὐ καὶ
δεῖ μὲ [illegible] τῆς ἐ-
μῆς φιλοσοφίας. οὐδὲ [illegible] τοῦ
δέοντος [illegible] φιλοτιμίαν
συνορᾶν. ἀλλὰ καὶ κατα-
γνῶσθαι ἐξ ἑτέρων πρὸς ἑαυτόν.
ὡς δὲ κοινωνῆσαι ἀποσχέσθαι
τῶν ἑτέρων λόγων τῶν ἑκάστοις
προσαγομένων ἀπέχονται:

ςλβ ΕΙ ΕΓΩ ΧΑΡΙΤΙ ΜΕΤΕΧΩ· ΤΙ
ΒΛΑΣΦΗΜΟΥΜΑΙ ΥΠΕΡ ΟΥ ΕΓΩ
ΕΥΧΑΡΙΣΤΩ· ΕΙΤΕ ΟΥΝ ΕΣΘΙ-
ΕΤΕ· ΕΙΤΕ ΠΙΝΕΤΕ· ΕΙΤΕ
ΤΙ ΠΟΙΕΙΤΕ. ΠΑΝΤΑ ΕΙΣ ΔΟ-
ΞΑΝ ΘΥ ΠΟΙΕΙΤΕ: τί μόσ-
μάχη χάριτι ἡ τῶν τοῦ
θεοῦ δωρεῶν. ἡ γὰρ χάρις
αὐτοῦ τοσαύτη. ὥστε κα-
τασκευάσαι τὴν ψυχὴν
ἀμόλυντον. καὶ ἀνώτε-
ραν πάσης κηλῖδος:

ςλγ ΑΠΡΟΣΚΟΠΟΙ ΓΙΝΕΣΘΕ. ΚΑΙ
ΙΟΥΔΑΙΟΙΣ ΚΑΙ ΕΛΛΗΣΙΝ. ΚΑΙ
ΤΗ ΕΚΚΛΗΣΙΑ ΤΟΥ ΘΥ:
τουτέστι μηδεμίαν παρέ-
χετε [illegible] μηδενί. οὐ
γὰρ μόνον ἀδελφοῖς οὐδὲ
[illegible]. ἀλλ' οὐδὲ τοῖς ἔξω-
θεν:

ςλδ ΚΑΘΩΣ ΚΑΓΩ ΠΑΝ-
ΤΑ ΠΑΣΙΝ ΑΡΕΣΚΩ. ΜΗ ΖΗΤΩΝ
ΤΟ ΕΜΑΥΤΟΥ ΣΥΜΦΕΡΩΝ. ΑΛ-
ΛΑ ΤΟ ΤΩΝ ΠΟΛΛΩΝ, ΙΝΑ ΣΩ-
ΘΩΣΙΝ. ΜΙΜΗΤΑΙ ΜΟΥ ΓΙΝΕ-
ΣΘΕ ΚΑΘΩΣ ΚΑΓΩ ΧΥ:

ἐπειδὴ [illegible] αὐτοὺς
ἐποίησεν. καὶ τῆς τῶν ἐθ-
[illegible] καὶ [illegible] τὴν τῶν
Ἰουδαίων. καὶ [illegible] τὸ με-
[illegible]. [illegible] τὸ
αὐτὸ καὶ κοῦφον ποιῆσαι με-
σον ἑαυτὸν ἄγων. καὶ τὸ
τῶν ἄλλων συμφέρον μᾶλλον
ζητεῖν. ὁ γὰρ [illegible] ἐστὶ τοῦ
τελεωτάτου χριστιανοῦ.
καὶ ὅρος ἡ [illegible]
καὶ ἡ ἄνω ἄκρα κορυφή,
τὸ κοινῇ συμφέρον ζητεῖν·
καὶ οὐδὲ μόνον τὸ ποιῆσαι
δύναται μίμησιν τοῦ Χριστοῦ.
ὡς τὸ κήδεσθαι τῶν πλη-
